F. 84r. Ἐκ τῶν Ἀντιόχου θησαυρῶν ἐπιλύσεις καὶ διήγησις πάσης ἀστρονομικῆς τέχνης <Prooemium> (Τίνος ἕνεκα — ἐστιν ὕδωρ). — F. 85. α'. Περὶ ἀρρενικῶν καὶ θηλυκῶν ζῳδίων καὶ ἀρρενουμένων καὶ τεθηλυμμένων τόπων καὶ ἀστέρων. — F. 85v. β'. Περὶ αἱρέσεως τῶν ἀστέρων. — γ'. Περὶ τῆς τῶν ιβ' ζῳδίων κράσεως. — F. 86. δ'. Περὶ ζῳδίων λεπρωδῶν καὶ ἀλφωδῶν καὶ ψοροποιῶν ἢ λιχίνων. — ε'. Περὶ ζῳδίων ἀσελγῶν. — ϛ'. Περὶ ζῳδίων σινοποιῶν εἰς τοὺς ὀφθαλμούς. — ζ'. Περὶ ὑψωμάτων καὶ ταπεινωμάτων. — F. 86v. η'. Περὶ ἐναντιωμάτων τῶν ἀστέρων. — F. 87. θ'. Περὶ τῆς τῶν τριγωνικῶν δεσποτῶν αἱρέσεως. — ι'. Περὶ τῶν λϛ' δεκανῶν καὶ τῶν παρανατελλόντων αὐτοῖς καὶ προσώπων. — F. 87v. ια'. Περὶ τῶν ἀπλανῶν λαμπρῶν ἀστέρων καὶ τῶν προανατελλόντων δυνάμεων. — ιβ'. Περὶ τῶν ὁρίων κατ' Αἰγυπτίους καὶ Πτολεμαῖον καὶ λαμπρῶν καὶ σκιαιρῶν <*sic*> μοιρῶν. — F. 88. ιγ'. Περὶ τῶν ἀναφορῶν τῶν ζ' κλιμάτων. — ιδ'. Περὶ τῆς τῶν ζῳδίων μελοθεσίας. — ιε'. Περὶ τριγώνων καὶ τετραγώνων καὶ διαμέτρων καὶ τῶν ἀσυνδέτων κ. τ. λ. — F. 88v. ιϛ'. Περὶ τῶν ἀσυνδέτων ζῳδίων καὶ συμπάθειαν ἐχόντων πρὸς ἄλληλα. — F. 89. ιζ'. Περὶ τετραγώνων συμπαθῶν τε καὶ ἀσυμπαθῶν. — ιη'. Περὶ τῶν δωδεκατημορίων τῶν ἀστέρων. — F. 89v. ιθ'. Περὶ ἀκουόντων καὶ βλεπόντων [ἄλληλα ζῳδίων add. m. altera]. — κ'. Περὶ ἐπιθεωρίας. — κα'. Περὶ ἀκτινοβολίας. — κβ'. Περὶ δεξιῶν καὶ ἀριστερῶν πλευρῶν. — κγ'. Περὶ δορυφορίας τῶν ἀστέρων. — F. 90. κδ'. Περὶ δορυφορίας παραιρέτων. — κε'. Περὶ συμφωνίας. — κϛ'. Περὶ ἐπιδεκατίας. — κζ'. Περὶ κακώσεων καὶ ἀχρηματίστων τόπων. — κη'. Περὶ χρηματιζόντων [καὶ ἀγαθῶν καὶ πρακτικῶν τόπων τοῦ πίνακος add. alia m.]. — κθ'. Περὶ ἰδιοπροσωπίας (σω superscr.). — λ'. Περὶ μετοχῆς. — F. 90v. λα'. Περὶ ἀντα ναλύσεως. — λβ'. Περὶ δεσποτείας ἀλλήλων. — λγ'. Περὶ οἰκοδεσπότου. — λδ'. Περὶ κολλήσεως. — λε'. Περὶ συναφῆς. — λϛ'. Περὶ μεσεμβολήσεως. — λζ'. Περὶ παραλλαγῆς. — λη'. Περὶ συνδέσμου. — λθ'. Περὶ κενοδρομίας. — μ'. Περὶ ὁμορ-

ροήσεως. — μα'. Περὶ ἐμπερισχέσεως. — μβ'. Περὶ τῶν ἐν δυνάμει ἀστέρων. — F. 91. μγ'. Περὶ λαμπηνῶν. — μδ'. Περὶ τοῦ πῶς χαίρουσιν οἱ ἀστέρες. — με'. Περὶ τῶν ὑπαύγων ἀστέρων. — μϛ'. Περὶ τῶν χρόνων τῶν κέντρων καὶ ἐπαναφορῶν καὶ ἀποκλιμάτων. — F. 91ᵛ. μζ'. Περὶ κλήρων σημασίας. — μη'. Τὰ αὐτῶν ἀποτελέσματα. — F. 92. Περὶ τῶν τελείων καὶ ἐλαχίστων ἐτῶν.—Πῶς ἄν τις μάθοι τὰς προθέσεις τῶν ζῳδίων καὶ τὰς ὥρας τῶν κλιμάτων. — F. 93. Περὶ τῶν μεγίστων ἐτῶν καὶ τελείων ἀποκαταστάσεων τῶν ἑπτὰ ἀστέρων. — Περὶ τῶν ἀσυνδέτων ἀστέρων πρὸς τὰ φῶτα. — Ἀποτελέσματα τῶν δορυφοριῶν τοῦ Ἡλίου = cf. cod. 7, ff. 191-196ᵛ. — Omnia edita sunt in appendice.

F. 93ᵛ. Περὶ τῆς ἐκ τῶν οἰκείων ἐνεργειῶν καὶ μορφώσεων ἐφηρμοσμένης τοῖς τοῦ ζῳδιακοῦ τμήματος διαφόρου προσηγορίας = cod. 7, f. 197. — Editum in appendice.

F. 94ᵛ. Ἐκ τῶν κοσμικῶν ἀποτελεσμάτων (Τότε εἰσὶν ἀλληθή <*sic*> — ὑπάρχων).

F. 95. Τὰ σημαινόμενα ἐνταῦθα ἔσεσθαι· ἄνεμοι βροχαὶ βρονταὶ πρηστῆρες αὐχμοὶ λιμοὶ λοιμοὶ σεισμοί etc. (Περὶ τροπῆς ἀέρων ἐκ τῶν Χαλδαικῶν καὶ Αἰγυπτιακῶν ἐν ἐπιτομῇ—ἑῷος ἀνατολικος γαλινότατος καὶ εὐκρινής)=cf. cod. 7, f. 198 et cod. 8, f. 130.

F. 98. Ὅσα σημαίνουσιν οἱ πλανόμενοι ἀστέρες ἐν ἑκάστῳ τῶν ζῳδίων γινόμενοι· Κρόνος Κριῷ. Inc. Κρόνος ἐν Κριῷ γινόμενος εἰ διαμέσου γένηται τῶν ζῳδίων etc. — F. 99. Ζεὺς (Ὅσα ὁ Ζεὺς ἐν τοῖς ζῳδίοις γινόμενος σημαίνει). — F. 100ᵛ. Ἄρης (Περὶ ὧν ὁ Ἄρης σημαίνει ἐν τοῖς ζῳδίοις). — F. 100ᵛ. Ἀφροδίτη (Περὶ ὧν ἡ Ἀφροδίτη σημαίνει ἐν τοῖς ζῳδίοις). — F. 102. Ἑρμῆς (Περὶ ὧν ὁ Ἑρμῆς σημαίνει ἐν τοῖς ζῳδίοις). — F. 103. Ἑρμῆς Ἰχθύσιν explic. κρύψιν δὲ ἑῴαν ποιούμενος βροτῶν <*sic*> ἐστιν κινητικός = cf. cod. 7, f. 199ᵛ.

F. 103. Περὶ τῆς τῶν πλανομένων ἀστέρων φυσικῆς ἰδιοτροπίας καὶ τῶν ἀπλανῶν [Πτολεμαίου add. m. s. XV]. Inc. Ἀρξάμενοι περὶ τῆς ἑκάστου τῶν οὐρανίων ἰδιοτροπίας καὶ τῆς ἐν ἑκάστῳ τῶν ἀστέρων etc. — F. 105. Περὶ τῶν βοριοτέρων τοῦ ζῳδιακοῦ (Τῶν δὲ ἐν ταῖς βορειοτέραις — τοῦ Ἑρμοῦ). — Περὶ τῶν νοτιωτέρων τοῦ ζῳδιακοῦ (Τῶν δ' ἐν τοῖς νοτιωτέροις — ἡμᾶς). — F. 105ᵛ. Περὶ τῶν ὡρῶν τοῦ ἔτους (Καὶ τῶν ὡρῶν δὲ τοῦ ἔτους — ὁ χειμών). — F. 106. Περὶ μερῶν τοῦ ὁρίζοντος (Ὁμοίως δὲ καὶ τῶν τεσσάρων — δυνάμεις) = Ptolemaei Tetrab. I, 2 (fin.); I, 3. 6-9 (init.) (contulit Boll).

F. 106ᵛ. Περὶ τῆς τοῦ Κυνὸς ἐπιτολῆς (Παρετήρησαν — τοὐναντίον) Hephaestionis Thebani, lib. I, cap. 33, pp. 91-94 (Engelb.), *Studi ital.*, p. 10-11 = cf. *infra*, f. 123ᵛ.

F. 107v. Ὅσα δὲ ἀποτελοῦσιν οἱ ε′ πλάνητες ἐν τοῖς δωδεκατημορίοις κατὰ τὴν τοῦ ἄστρου ἀνατολὴν ταῦτα ἐστίν (Κρόνος ἐν μὲν Καρκίνῳ — τυγχά <*sic*>) = Heph., p. 91,28-96, 29 (Engelb.), *Studi* etc., ibid. — Inter ff. 108v-109 videtur folium excidisse.

F. 109 sine tit. Ἥλιος ἐκλείπων — σημαινομένων | ὅσα ἡ Σεληνη περὶ ἀέρων σημαίνει (Σελήνη δὲ ἐκλείπουσα — Ὑδροχόου). — Περὶ ὧν ἐν ἐκλίψεσι σημαίνουσιν οἱ ε′ ἀστέρες (Ἐν ταῖς ἐκλείψεσιν — ὡς ἐπὶ τὸ πλεῖστον ἐσημειώσαντο).

F. 110. Φυσικὴ θεωρεία περὶ τῶν γινομένων σεισμῶν ὡς οἱ παλαιοὶ [1] (Καθώλου τοίνυν — εὑρήματα τοσαῦτα) = cf. cod. 7, f. 203, ed. Wachsmuth in ed. Lydi, 1897, p. 172 s.

F. 113v. Περὶ σεισμῶν προσημείωσις (Ἃ δὲ καὶ περὶ — τὰ σύμπαντα).— Ed. ibid., pp. 173-75.

F. 114v. Σχόλιον ἀπὸ φωνῆς Συμεῶν μοναχοῦ τοῦ χρυσογράφου εἰς τὰ προκείμενα δύο κανώνια περὶ σεισμῶν (Τὸν ἀστέρα τὸν κύριον — ἔτυχεν ἀποφαίνου). — Ed. ibid., p. 175.
Περὶ καθολικῶν ἐπισκέψεων καὶ ἀποτελεσμάτων (Τούτων οὕτως — φώτων) = Heph. ibid., 20. pp. 75-81; *Studi* etc., p. 9.

F. 117. Ἀποτελέσματα γιγνομένων ἐκλείψεων καὶ τῶν κομητῶν (Ἀνέγραψαν δὲ καὶ οἱ παλαιοὶ — ἐπιγνῶναι) = Heph. ibid., 21, pp. 82-89; *Studi*, ibid.

F. 121. Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων (Τὰ δὲ ἐν ταῖς ἐκλίψεσι — σημαίνει) = Heph. ib., cap. 22, pp. 89-91; *Studi*, ibid.

F. 122. Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι χρωμάτων καὶ κομητῶν (Ἐπιτηρητέον τὲ — μέρει) = Heph. ibid., cap. 23, pp. 97-99; Wachsmuth, *op. cit.*, p. 167-69; *Studi*, ibid.

F. 123. Ὅσα ἡ Σελήνη ἐν τῇ τοῦ Κυνὸς ἐπιτολῇ ἑκάστῳ ζῳδίῳ διερχομένη σημαίνει (Ἡ τοῦ Κυνὸς ἐπιτολὴ γίνεται — τετραπόδων ἀπωλείαν) = *Geoponica*, I, 8 (p. 15, ed. Beckh).

F. 123v. Περὶ τοῦ ζῳδιακοῦ (Ὁ ζῳδιακός — τῶν ἀγαθοποιῶν μαρτυρούμενα).

F. 124. Περὶ ἐπιτελ<λ>όντων καὶ δυόντων ἀστέρων καὶ ἐφημερίδων καλουμένων καὶ ἐν ταῖς ἀνατολαῖς καὶ δύσεσιν αὐτῶν ποιούντων ἀνέμους, ταραχὰς καὶ βίας θαλάσσης, ὄμβρους τε καὶ εὐδίας καὶ ὅσα ἄλλα τοιαῦτα· γίνονται δὲ ταῦτα ἐκ τῶν φαινομένων ἀστέρων (Μηνὶ Ἰαννουαρίῳ etc. — πολὺς βορρᾶς) = Clodii Calendarium, ed. Wachsmuth, *Lydus*, pp. 117-155, 10.

F. 130 sine titulo. <Pauli Alexandrini> .... μέθοδον τῆς τῶν κλήρων εὑρέσεως. Cf. imaginem photographicam f. 132v. — Partim editum in appendice.

---

[1] Folia 110-129 huius libri foliis 1-24 codicis Parisini 1991 (cf. *supra*, p. 62, n. 2) respondent.

F. 133v. Περὶ ἐνεργείας τῶν ιβʹ ζῳδίων (Ἀρσενικά· Κριὸς — θηριῶδες· Τοξότης) ed. Ludwich, *Maximi et Amm. rel.*, pp. 105-110.

F. 134. Περὶ ἀποτελεσμάτων τῶν ιβʹ ζῳδίων (Σημαίνειν φασὶν — πραγματευομένους. — Editum ibid., pp. 110-112.

F. 134v. Περὶ τῶν παρανατελλόντων τοῖς ιβʹ ζῳδίοις· κατὰ Τεῦκρον (Κριῷ· τῷ Κριῷ παρανατέλλουσιν Ἀλιεὺς — συμφωνίαν πραγματωμαρτύρων κληρονόμων δηλοῖ)[1].

F. 136v. Κατάστασης καὶ παρατήρισης περὶ τῶν ὡρῶν ἑκάστης ἡμέρας πῶς δεῖ ἡμᾶς ἀναστρέφεσθαι· εἰ δὲ ὑπόθεσις ἐστὶν ἀπὸ τῶν ζʹ ἀστέρων (Πρώτη ἡμέρα ἐστὶν Ἡλίου — καὶ ἅπαν τὸ γενόμενον ἐν αὐτῇ ἐπιβλαβές).

F. 137. Ἡμεροδρόμιον Πάππου τῶν διεπόντων καὶ πολευόντων (Ἑβδόμῃ ἡμέρᾳ Κρόνου· ὥρᾳ πρώτῃ ἐάν τις πλεύσῃ — τῶν κδʹ ὡρῶν)[2].

F. 137v. Περὶ τῶν σιμασιῶν τοῦ πολεύοντος καὶ διέποντος ἀστέρος· ὅπως οἱ ἑπτὰ πλάνητες πῶς ἄγονται ἐν ἑκάστῃ ἡμέρᾳ καὶ ὥρᾳ· καὶ ποῖος ἀστὴρ ποίαν ἡμέραν ἐπέχει· καὶ ποίας ὥρας δεσπόζει. Inc. Ἡμέρᾳ σαββάτῳ Κρόνου. ὥρᾳ πρώτῃ Κρόνος πολεύει καὶ διέπει .... item ἡμέρᾳ κυριακῇ Ἡλίου etc. sqr. nullo spatio intermisso: Περὶ τοῦ πολεύοντος καὶ διέποντος (Τὸν πολεύοντα καὶ διέποντα ἐφ' ἑκάστης γεννέσεως καὶ ἐπὶ πάσης ἡμέρας σκοπεῖν δεῖ — ἔχει ἡ ἀκολουθία) = cod. 7, f. 209. Item:

F. 140. Περὶ τῶν σχημάτων τῆς Σελήνης. Inc. Τὰ τῆς Σελήνης σχήματα ἃ καὶ φάσεις λέγονταί εἰσιν ιʹ = cod. 7, f. 209.

F. 140v. Ἐκ τῶν Εὐτοκίου ἀστρολογουμένων. — Exordium editum est in appendice.

F. 142. Τὸ δὲ σχῆμα τοῦ θεάματος (in fine τέλος τοῦ θέματος), alia tab. 143. Τοῦτο δὲ συμβήσεται ὑποτεθέντος τοῦ ἐνιαυτοῦ ἡμερῶν τξεʹ μόνον· τοῦτο καὶ οἱ ἀρχαῖοι σοφοὶ τῶν Αἰγυπτίων.... ὁ δὲ Οὐάλης προκρίνει τὸν ἐνιαυτὸν ἔχειν ἡμέρας τξεδʹ ... Expl. τὴν τοῦ Κυνὸς ἐπιτολήν, sqr. sine ulla intermissione:
Περὶ τῶν ἐναντιομάτων τῶν ἀστέρων (Τίνος ἕνεκεν οἱ οἶκοι Ἡλίου καὶ Σελήνης ἐναντιοῦνται τοῖς οἴκοις τοῦ Κρόνου .... καὶ ῥυπαρὸν τῆς φύσεως τοῦ ἀστέρος) sqr. sine intermissione:

F. 143v. Περὶ τῶν μεγίστων ἐτῶν καὶ τελίων ἀποκαταστάσεων τῶν ζʹ ἀστέρων (Κρόνος ποιεῖ τὴν μεγίστην ἀποκατάστασιν δι' ἐτῶν σξεʹ. Ζεὺς δι' ἐτῶν υκζʹ — ἐν μέρει δὲ τοῦ κόσμου) = cf. *supra*, f. 93.

---

[1] De Teucro Babylonio, cf. *supra*, ad 71v. — Idem excerptum π. τ. παραν. in cod. Paris. 2506, f. 119r invenitur, cf. Porphyrii, *Introd. in Ptolem.*, f. 200, ed. 1559 et Psellum περὶ παραδόξων ἀναγωσμάτων, p. 147, Westermann.

[2] Cf. Hultsch, *Pappi Alexandrini quae supers.*, Berlin, 1875, III, praef., p. XII.

Ἔτους ϛυιϛ' ἐποχαὶ τῶν ἀπλανῶν τῶν ἐν τῇ ἀράχνῃ τοῦ ἀστρολάβου[1].

F. 144. Καθολικὴ παραγγελία περὶ καταστημάτων· Σύρου = cod. 8, f. 143. — Editum in appendice.

F. 144v. Ἐπίθετα ὀνόματα τῶν ζ' ἀστέρων. — Editum in appendice.
Περὶ τῶν ὑπαλλήλων ἑπτὰ ἡλικιῶν (Ζεὺς γεροντικὴν ἡλικίαν ἔχει ὁ Κρόνος ἔτη λϛ' πρεσβυτικὴν ἡλικίαν ἔχει ὁ Ζεὺς ἔτη ιβ' — ἡ σελήνη ἔτη δ').
Ἔτη μέγιστα καὶ μέσα καὶ ἐλαχιστα ἀστέρων (Κρόνος μέγιστα ἔτη νζ' — ἐλάχιστα κε').

F. 145. Πόσα ἔτη μερίζει ἕκαστον ζῴδιον καὶ τὰ τέλεια ἔτη τῶν ἀστέρων (Μερίζει δὲ ὁ μὲν Ὑδροχόος ἔτη λ' — καὶ γίνονται οϛ').
Κριοῦ δωδεκατημόριον manus rec. in mg. addidit Πτολεμαίου[2] (Τὸ μὲν οὖν τὸ Κριοῦ δωδεκατημόριον καθώλου μέν ἐστιν διὰ τὴν ἰσημερινὴν ἐπισημασίαν — sqr. de ceteris signis usque ad Pisces; explic. τὰ δε νότ<ια> ὑδατώδη).

F. 146. Περὶ τροπικῶν καὶ ἰσημερινῶν καὶ τῶν ἄλλων δύο κέντρων (Καθόλου τοίνυν εἰσὶν διαφοραὶ τῶν καλουμένων τροπικῶν — φυσικῆς ἰδιοτροπίας).

F. 146v. Περὶ σχηματισμοῦ τῶν ἀστέρων (Οἰκειοῦνται δ' ἀλλήλοις τῶν μερῶν τοῦ ζῳδιακοῦ — διὰ τὴν τῆς Ἀφροδίτης συνοικοδεσποτίαν).

F. 148. Περὶ ὑψωμάτων (Τὰ δὲ καλούμενα τῶν πλανομένων ὑψώματα — ταπεινοῦται).

F. 148v. Περὶ τῶν ὁρίων τῶν πέντε ἀστέρων (Ὁ δὲ τῶν ὁρίων τύπος τῆς ὅλης ἐπιβολῆς — ἔκθεσις τοιαύτη) sqr. f. 149 tabula inscripta : ὅρια κατὰ Πτολεμαίον, deinde altera f. 149v : Ὅρια κατ' Αἰγυπτίους, textus autem iterum procedit : διεῖλον δέ τινες καὶ ἐσέτη — παντελῶς τυγχάνουσιν explic. πίναξ περὶ ἧς δεσπόζουσιν οἱ ἀστέρες = Paul. Alexandr., fol. C, 3v, ed. 1586.

F. 151. Περὶ σχημάτων τῶν ἀστέρων (Τούτων οὕτως ἐκτεθημένων αἱ κατὰ μέρος ἔφοδοι — συσχηματιζόμενοι).

F. 151v. Περὶ τῆς τῶν μετεώρων ἐπισκέψεως (Πρὸς δὲ τὰς κατὰ μέρος — κατὰ μέτρον τις ἐρευνῶν οὐκ ἀστοχήσει τοῦ σκοποῦ).

F. 153. Καθολικὴ ἐπιτήρησις πρὸς Σελήνην περὶ κεραυνῶν καὶ ἄλλων καταστημάτων ἐκ τῶν Λαβεῶνος καθ' ἑρμηνείαν παρὰ λέξιν

---

[1] *Man setzt die Hs., gewöhnlich in's XI Jahrh.; ich möchte nicht entschieden in Abrede stellen, dass sie 907 geschrieben sein kann, vgl. f. 35v die Notiz über Photios* [Kroll, *l. c.*].

[2] F. 145-152v ex Ptolemaei Tetrabiblo paucis mutatis excerpta sunt (cap. II, 10; I, 9, 11, 15-19; II, 11). Contulit Boll.

ἀπὸ τῆς θερινῆς τροπῆς (Κριὸς εἰ κατὰ τὴν πρώτην — ἔξω μειωθήσονται) = cf. cod. 7, f. 212. — Edidit Wachsmuth, *Lydus,* pp. 93-95.

F. 153v. Περὶ καταρχῶν λόγων (Γίνοσκαι <*sic*> ὅτι ἡ Σελήνη τὰ οἰκεῖα — κακίαν καὶ ἔστιν).
Αἱ χῶραι συνοικειούμεναι τοῖς ιβ' ζῳδίοις (Κριός. Κατὰ μὲν Πτολεμαῖον — ἰνδικῆς χώρας) ed. Ludwich, *Maximi et Ammonis reliquiae,* pp. 112-119.

F. 155. Τί σημαίνει ἕκαστον τῶν ζῳδίων καὶ τῶν ἀστέρων καί τίνων δεσπόζουσι. — Ποῖα τῶν εἰδῶν ἀνήκει ἐν ἑνὶ ἑκάστῳ ἀστέρι. — Καὶ ἐκ τῶν μεταλλικῶν. — Τί ἐκληρώσατο ἕκαστος τῶν ἀστέρων ἀπὸ τῶν ζῴων (Κρόνος ἐκληρώσατο — τὰ χειροήθη) — Ed. Ludwich, ib., pp. 119-122.

F. 156. Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων (Τὰ δὲ ἐν ταῖς ἐκλείψεσι — σημαίνει) = cf. antea, f. 121. — Ed. Ludwich, pp. 122-125.

F. 156v. Περὶ τῶν ἡλιακῶν καὶ σεληνιακῶν διοσημείων καὶ τῶν ἐξ αὐτῶν καθολικῶν ἀποτελεσμάτων (Ἰστέον ἐν πρώτοις — κατ' ἀλλήλων ἐπιβουλάς). — Ed. Wachsmuth, *Lydus,* pp. 17-25.

F. 157v sine tit. Κριός. Εἰσὶν δὲ Κριοῦ μὲν ὡροσκοποῦντος οἱ τικτόμενοι ... itemque de aliis signis; explic. κατὰ τὴν θείου Πτολεμαίου μέθοδον ἣν εὑρίσκομεν σχέδον ἐπὶ πάντων ἀληθευούσαν. = Hephaest. Theb.; II, 2.

F. 158. Ἐκ τῶν κλιμακτήρων χρόνοι λε' ἤγουν ἔτη (Ἡ μία μοίρα ποιεῖ ἔτος ἕν — καὶ μῆνες ια').

F. 158v. Περὶ καθολικῶν καταρχῶν καὶ παρατηρήσεων (Τὴν βασιλικὴν τάξιν — προειρημένων) = Hephaest. Theb., III, 5-6. — Ed. Olivieri, *Studi ital.,* VI, pp. 12 sqq.

F. 164. Οἱ κλιμακτῆρες λαμβάνονται κατὰ τὸν φιλόσοφον Ἡλιόδωρον[1] ἐννεακαιδεκαχῶς (α' ἀπὸ συναντήσεως τῶν ἀστέρων πρὸς Ἥλιον — τῷ ἡγουμένῳ).
Μαξίμου περὶ καταρχῶν μεταφρασθὲν πεζῇ λέξει ἐκ τῶν ἡρωϊκῶν μέτρων (Εἰ δ' ἄγε — τὸ ἀπολόμενον). — Ed. Ludwich, pp. 79-96.

F. 167. Περὶ τῶν ιβ' ζῳδίων καὶ τῆς τούτων συνόψεως (Ὁ ζῳδιακὸς κύκλος κινεῖται λόξως διειρημένος <*sic*> εἰς τμήματα ιβ' ἅτινα καλεῖται ζῴδια — πρὸς δὲ τὸ συλλήβδην αὐτὰ νοεῖν οὕτως ἐκτεθείσθω)[2] = Paulus Alexandr. cap. 1, ed. 1586, A, 1v-4v.

F. 168v. Περὶ ὧν ποιοῦνται φάσεων οἱ ε' ἀστέρες πρὸς τὸν Ἥλιον (Ποιοῦνται δὲ φάσεις πρὸς τὸν Ἥλιον οἱ περιπολοῦντες ἀστέ-

---

[1] De Heliodoro, cf. supra, p. 57, n. 1 ad cod. 11, f. 261.

[2] Cf. cod. 7, f. 214v. Reliqua omnia paucis exceptis cum cod. 7, f. 215-216v fere consentiunt.

ρες — καὶ αἱ μὲν πρὸς τὸν Ἥλιον τῶν ἀστέρων γινόμεναι δοροφορίαι) = ibid., f. E 2, 1-3, 4.

F. 169. Περὶ ὧν ἐπέχουσι κατὰ δεκανῶν προσώπων ἐν τοῖς ιβ' ζῳδίοις οἱ περιπολεύοντες ζ' ἀστέρες post breve prooemium, haec sqr. capp. = ibid. B, 4ᵛ.
Ἐρώτησις περὶ πολέμου (Ὅταν πυνθάνονται σου — αὐτῶν).
Πότε κινοῦσιν (Βλέπαι ὁμοίως τοὺς κυρίους — ποιεῖσθαι).
Διὰ πόσου δὲ χρόνου (Ἴδε αὐτῶν τὰς ἀπὸ τόπου — σχηματογραφίαν).
Περὶ πολιορκουμένων πόλεων (Δεῖ σκοπεῖν τὸν ὡροσκόπον — κακοποιοὶ δὲ ἅλωσιν).

F. 170. Περὶ ἐπιστρατείας (Ὅταν τις πυνθάνεται σου — ἐπίκεντροι ὄντες).
Περὶ λόχου καὶ δόλου καὶ ἐνέδρας (Ἐάν τις λόχον — ἐνεχόμενος).
Ἄλλο (Ἔστω ὁ Ἑρμῆς σὺν τῇ Σελήνῃ — κυρίους).
Περὶ τῶν πολιορκουμένων πόλεων (Περὶ δὲ τῶν πολιορκουμένων πόλεων — ἔσεσθαι σημαίνει).

F. 170ᵛ. Πρὸς τὸ πολιορκῆσαι πόλιν (Ἔστω ἡ Σελήνη λιψηφωτοῦσα — βραδύτητα).
Εἴς τὸ πῆξαι κορτίναν (Ἐὰν ἐπιτραπεὶς — κίνδυνον φέρῃ).
Ἐκ τοῦ ι' κεφαλαίου τῆς ιβ' τρόπου τῶν καταρχῶν. (Ἐὰν γίνε Des. fol. 170 et codex).

13 = Plut. 28, cod. 36. — Chartac., saec. XV, cm. 22,7 × 16,5, ff. 102. Adiecta sunt singula folia in principio et fine custodiae loco. Cf. Bandini, II, p. 62.

Conspirat cum cod. 11, sed desinit in cap. 73, lib. II, Apomasaris quod inscribitur Περὶ τοῦ ὅτι ἐὰν ὁ Ζεὺς τύχῃ ἐπικρατήτωρ ἐν γενέσει καὶ ὁρᾷ τὸν ὡροσκόπον, ποιεῖ μεγάλην δυστυχίαν (f. 101ᵛ).

III. CODICES QUORUM NONNULLIS FOLIIS EXCERPTA SERVATA SUNT ASTROLOGICA

14 = Plut. 28, cod. 22. — Chartac., cm. 23 × 16,5 s. XV, ff. 101, cf. Bandini, t. II, p. 41.

F. 97ᵛ. Πῶς ὀφείλει εὑρεῖν τὸ ζῴδιον ἐν ᾧ ἐγεννήθης (Λάβε τὰ στοιχεῖα τοῦ ὀνόματος — ὅτι τοιοῦτον ἐστὶ τὸ ἐρωτημ<έ-νον>).

F. 99ᵛ. Περὶ ἀστέρων (Μάθε οὖν τί δηλοῦσιν οἱ ε' ἀστέρες — μόνος μόνης).

F. 101ᵛ. Περὶ θύσαυρου <*sic*> ἢ πραγματος (Μέλης οὖν γνωρίσαι ἐν τίνι τόπῳ κητς <= κεῖται> τὸ ζητούμενον — εἰς τον ιε'ον οἶκω πρὸσεκτηκως).

15 = Plut. 28, cod. 23. — Membran., cm. 18,3 × 14,5 s. XIII, ff. 121, cf. Bandini, p. 42.

F. 119ᵛ sine titulo. Ὁ μὴν Μάρτιος· ἀρχη μηνὸς καὶ πρώτος ἐν μήσει (?) τοῦ ἐνιαυτοῦ. — F. 120ᵛ. Καὶ πρὸς τοὺς ἀστέρας τοὺς ἐκλειπτικούς; quae manus altera iterum in ff. 120ᵛ-121 exaravit.

16 = Plut. 58, cod. 13. — Membran. in-4° mai., ff. 36, scriptus Venetiis anno 1491, manu Iohannis Rhosi Cretensis. Cf. Bandini, p. 449, Wachsmuth, *op. cit.*, p. xv.

Post Φρουνούτου (lege Cornuti) opusculum de diis invenitur :

F. 31. [Lydi] excerptum Περὶ κομητῶν καὶ τῶν ἄλλων ἀστεροειδῶν cf. supra, cod. 5.

17 = Plut. 75, cod. 19. — Chartac. cm. 25 × 17,6, s. XIV, ff. 193. In primo folio legitur : Τοῦτό τὸ ἰατροσόφιον ἔνε τοῦ πάπα Μανουὴλ τοῦ Μαρμαρᾶ, cf. Bandini, t. III, p. 167.

F. 168. ιδ' <Ζῴδια τῶν ἀνδρῶν>. Εἰ γεννηθῇ νεωτρος ἐν καιρῷ ζῳδίου τοῦ Ταύρου — ἐτῶν Γ'· κίνδυνον διαβα<ίνει> (in marg. ἔσται ἡμέρᾳ σαββατ' ὥρᾳ δείπνου).

F. 182. Ζῴδια τῶν γυναικῶν ΙΓ' (Εἰ γεννηθῇ κόρη ἐν καιρῷ ζῳδίου τοῦ Κριοῦ — πολλὰ χαρῇ, διὰ πρεσβειῶν f. 188) sqr. notula " *quaere reliqua in princip.* „, revera in principio codicis folium exstat 189 signatum quod continet libelli continuatio-

nem τῆς ὑπεραγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων — θέλει δώσειν).

18 = Plut. 80, cod. 23. — Chartac., in-8°, saec. XV, ff. 25, cf. Bandini, ibid., p. 212, Wachsmuth, *l. c.*, p. xv.

Post Theophrasti characteres taeterrime scriptae leguntur astrologicae disputationes haece :

F. 12. Περὶ τῶν ἡλιακῶν καὶ σεληνιακῶν διοσημείων κ. τ. λ. = Lydus, *De ostentis*, c. 9.
F. 16ᵛ. Περὶ κεραύνων = Lydus, *ibid.*, c. 43-52 (p. 95 sqq. Wachsmuth).
F. 19ʳ. Περὶ σεισμῶν = Lydus, *ibid.*, c. 53-58 (p. 107 sqq.).
F. 22. Τὰ μέρη τῆς σφαίρας οἰκήματα. [Epitome Chaldaïcae doctrinae vulgaris. Wachsmuth].
F. 00. Πῶς δυνάμεθα εὑρεῖν τὸ ζῴδιον καὶ τὴν μοῖραν ἔνθα ἔστιν ὁ Ἥλιος.

In ea παραδείγματος ἕνεκα dies quidam anni 936 post Augustum Caesarem ponitur " Multis correctionibus ac lituris scatet eiusmodi opusculum, propereque ac non sine oscitantia videtur exaratum " (Bandini).

19 = Acquisti e doni 175 s. XIV, cf. Rostagno, *Studi ital.*, VI (propediem edetur).

F. 44ʳ. Fragmentum astrologicum incipit : ἐν δὲ τὸ Ταύρο στρογκηλοπρόσωπον λευκὸν διὰ τὸ εἶναι οἶκον τοῦ Λέοντος. — Des. ἐστότε ὑπόκυρτον διατο.....ὀς.

20 = Codex Antinori Chartac. cm. 21-15, ff. 394, saec. XV, scripsit Manuel Atrapes. Cf. cod. Reginens. gr. 181 apud Stevenson, p. 121-123. Descripsit Rostagno *Codici greci Laurenziani, appendice 2* (*Studi ital.*, t. I, 1893, p. 213 sqq.).

Farraginem medicam continet cuius nonnulla ad astrologiam spectare videntur :

F. 241ᵛ. Περὶ ἐπισημασιῶν (Μηνὶ Μαρτίῳ ιθ' καὶ κγ' etc. Εἰς τὰς τοσαύτας ἡμέρας — κινεῖν εἰς τὰς τοιαύτας ἡμέρας).
F. 242. Περὶ τῶν ἡμερῶν τῆς Σελήνης (Ἡμέρᾳ α' τῆς Σελήνης Ἀδὰμ ἐπλάσθη — ἡμέρᾳ λ' τῆς Σελήνης Σαμουὴλ ἐγεννήθη ὁ προφήτης — ὁ νοσῶν τάχιον ὑγιαίνει). Expl. f. 245.

21 = Codex Riccardianus 10. Chartac. miscell., ff. 354. — F. 328-337 cm. 39 × 22, s. XV. Videtur idem librarius scripsisse qui codices Laur-Ashburnh. 1440, 1443 exaravit. Descr. Vitelli *Studi Italiani*, II, 1894, p. 479 ss.

Continent folia haec tractatum astronomicum initio mutilum cuius primum caput 15^{b} (p. 17-45, l. 13, ed. Wachsmuth) servatum inscribitur Πῶς ἔστιν εὑρεῖν πόσοις ἐν χρόνοις ἕν ἑκάστου <*sic*> ζῴδιον ἀναφέρεται καὶ πόσοις δύνει.

F. 333^{r} incipit cap. Περὶ τῶν δώδεκα οἰκοδεσποτειῶν etc.

22 = Codex Riccard. 12. Chartac. cm. 29 × 21,2, ff. 178, saec. XV. Scripsit ff. 116-167 Nicodemus monachus, cetera alii. Descrip. Vitelli ibid. p. 481 sqq.

F. 168^{v}. Astrologica quaedam (Ἰστέον ὅτι τὴν α′ χιλιάδα τῶν τοῦ κόσμου ἐτῶν — γινώσκει τὰ κρύφια).

INDEX CODICUM

Affinitates codicum praestantiores.

Cod. 7, ff. 2-19 = Cod. 10, ff. 3-23.
Cod. 7, ff. 99-247 consentiunt fere omnino cum cod. 8, ff. 33-170.
Cod. 7, ff. 20-274 = Cod. 10, ff. 27-265.
Cod. 11 = Cod. 13 (mutilus).

Annorum notae in codd. obviae.

Cod. 11 a. 1542.
Cod. 12 (f. 143ᵛ) a. 907 ?
Cod. 16 a. 1491.

S(criptores), p(ossessores) codd.

Laurentius de Medicis, cod. 3 (P.).
Antonius Magliabechi, cod. 6 (P.).
[Nicodemus monachus, cod. 22] (S.).
Ἰωάννης ὁ Ἀβράμιος, cod. 10 (S.).
Petrus Medici (?), cod. 7 (P.).
Comes Iohannes Mirandulanus, cod. 3, cod. 7, cod. 8 (P.).
Angelus Politianus, cod. 8 (P.).
Πάπα Μανουὴλ τοῦ Μαρμαρᾶ, cod. 17 (P.).
Manuel Atrapes, cod. 26 (S.).

Consensus Numerorum.

Laurent.,	Plut. 28,	cod.	7	=	1	
„	„ 28	„	13	=	7	
„	„ 28	„	14	=	8	
„	„ 28	„	16	=	10	
„	„ 28	„	17	=	2	
„	„ 28	„	20	=	3	
„	„ 28	„	22	=	14	
„	„ 28	„	23	=	15	
„	„ 28	„	27	=	4	
„	„ 28	„	33	=	11	
„	„ 28	„	34	=	12	

Laurent.,	Plut. 28,	cod. 36	=	13	
„	„ 28	„ 27	=	5	
„	„ 58	„ 13	=	16	
„	„ 75	„ 19	=	17	
„	„ 80	„ 23	=	18	
Laurent.,	Acquisti	175	=	19	
„	cod. Antinori		=	20	
	Magliabech.	7	=	6	
	Riccardian.	10	=	21	
	„	12	=	22	

APPENDIX

DE ASTROLOGICIS GRAECIS

TESTIMONIA POTIORA

Ex Vettio Valente (scr. inter a. 161-180 p. C. n.).

Προοίμιον.

Οὐάλης Μάρκῳ χαίρειν. Ὅσα μὲν ὁ θειότατος βασιλεὺς εἴρηκε Νεχεψὼ ὁ τὴν ἀρχὴν ποιησάμενος τῆς ιγ' βίβλου, ἐν τοῖς προσυντεταγμένοις ὑφ' ἡμῶν καὶ ἄλλων πόνοις κατημαξευμένα ἐστίν. νυνὶ δὲ ταύτην συντάσσω λειπομένην ἐν οὐδενί. ὅτι μὲν οὖν μυστικῇ συνέσει τὴν ὑφήγησιν πεποίηται καὶ ἀρχηγὸς τῆς εἰς ταῦτα εἰσόδου καὶ ἡμῖν ἐγένετο, πρόδηλον· τό τε ὁμολογεῖν περὶ τῶν ἡμαρτημένων αὐτῷ πρότερον, ἐξ ὑστέρου δὲ κατωρθωμένων ἀνδρὸς ἀγαθοῦ καὶ σοφοῦ ἀπολογίαν καὶ διάνοιαν ἐπιφερομένου, καὶ τὸ καταφρονεῖν ὅλης τῆς βασιλείας καὶ τυραννίδος <παρὰ> τὸ περὶ τὰ τοιαῦτα ἐσπουδακέναι ἐμπείρου καὶ πεποιθότος καὶ ἐρωτικὴν καὶ προτρεπτικὴν θεωρίαν ἐνδεικνυμένου τοῖς μεταγενεστέροις. οὐδέ γε αὐτὸν μεθεῖλκεν ἀνάγκη βιωτικὴ καὶ πλάνη φιλάργυρος, ὥσπερ πολλοὺς τῶν νῦν· ὅθεν ἀποδεκτέος ὁ τοιοῦτος.

Ὁ δὲ σοφώτατος Κριτόδημος ἐν τῇ ἐπιγραφομένῃ αὐτοῦ ὁράσει συνεκτικωτάτῃ πολλῶν μαρτυρίων ἀρχὴν τοιαύτην ἐποιήσατο· ἤδη ποτὲ πελαγοδρομήσας καὶ πολλὴν ἔρημον διοδεύσας ἠξιώθην ἀπὸ θεῶν λιμένος ἀκινδύνου τυχεῖν καὶ μονῆς ἀσφαλεστάτης· ἄλλως τε καὶ ὁ Τίμαιος καὶ <ὁ> Ἀσκλατίων καὶ ἕτεροι πλεῖστοι: οὗτοι μὲν οὖν καλλονῇ λόγων ἐνεχθέντες καὶ τερατολογίᾳ οὐ κατὰ τὰ ἐπαγγέλματα τὰ ἔργα ἐπέδειξαν οὐδὲ τὰς συντάξεις πλήρεις καὶ ἐπιλελυμένας, ἀλλὰ λειπομένας ἐν πολλοῖς τισιν ἀεὶ τῶν ἐντυγχανόντων· ἐν πᾶσι δὲ τὸ σκολιὸν καὶ ἐφθονημένον καὶ ἀναλυόμενον καὶ ἐπιπλεκόμενον· καὶ μηδεμιᾷ ὁδῷ διευθύνοντες, ἀλλὰ προσεισφέροντες αἵρεσιν αἱρέσει καὶ ἀνα-

1 Ex cod. Bodlei. Selden. 22, saec. XVII, descr. Riess (cf. mus. Rhen., LII, 339). 2 an del. ὁ? βίβου ταῖς 5 μυστικῶς ut vid. συνέξει 6 εἰς] ἐκ (possis ἐνταῦθα) 8 κατορθωμένου 9 ἀπολ. καὶ διάν. suspectum καὶ τὸ καταφρονεῖν] καθὸ καταφρονεῖ (tuetur Cumont scribens in v. 10 τό <τε> περὶ) 13 πολλοῖς 15 ὅρασις 16 nolui ἁμαρτιῶν 17 cf. mus. Rhen., l. c. ποτὶ 17 ἄρημον διωδεύσας 18 de ἄλλως τε dubito 19 ἀσκλατίων an ἀκλατίων incertum; cf. infra Palchum v. 15 et Lydum v. 12. Cave Ἀσκλάπων conicias; nomen est aegyptiacum, cf. *Berlin. Urk.*, I, 14, c. 3, l. 10 (255 p. C.) 21 οὐδὲν πλήρης 22 τῶν ἐντυγχανόντων non intellego 23 nempe ἀναδυόμενον

πομπίμους βίβλους πλάνης μᾶλλον ἢ ἀληθείας τεκμήρια. Ὁ μὲν οὖν Κριτόδημος πλῆθος θεωρημάτων κεκτημένος καὶ τοῖς ἄλλοις συγκεκοσμημένος καὶ δυνάμενος σαφῶς διερμηνεῦσαι διὰ τῆς τούτων τῶν ὀργάνων φαντασίας ἠμαύρωσε τὴν ἐπιστήμην. ἐγὼ δὲ ἐν ταῖς προσυντεταγμέναις μοι βίβλοις οὔτε κενῶν οὔτε ματαίων ὕθλων πόνους διήνυσα, etc. [W. K.]

3 συγκεκοσμιμένος 5 κενῶς οὔτε ματέως ἄθλων

Ex Palchi libro apotelesmatico (scr. saec. V exeunte).

C. ρλε'. Ἡμεῖς μὲν οὖν τῇ τοῦ θειοτάτου Πτολεμαίου διδασκαλίᾳ ἀκολουθήσαντες ἐτολμήσαμεν ἀπογράφεσθαι μὲν περὶ τῆς ἐνεργείας καὶ τῆς ποιότητος τῶν λ' λαμπρῶν ἀστέρων· ἵνα δὲ μνησθῶμεν καὶ τῶν πρὸ αὐτοῦ γραψάντων περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων <φάσεως> καὶ περὶ τῆς τῶν παρανατελλόντων δυνάμεως ταῦτα παρεκτιθέμεθα. Βαβυλώνιοι μὲν οὖν καὶ Χαλδαῖοι σχεδὸν πρῶτοι ἐφεῦρον τὴν τῶν φαινομένων γνῶσιν, καθὼς ἔγνωμεν ἐκ τῶν προγενεστέρων ἡμῶν. Ἱστοροῦσι γὰρ οὗτοι καὶ Ἀπολλώνιον τὸν Μύνδιον καὶ Ἀρτεμίδωρον *** συνέγραψε δὲ καὶ περὶ αὐτῶν ὁ Βηρωσὸς καὶ ὁ Ἐφῆς. Καὶ τῶν ἡμετέρων δὲ πρόγονοι τῶν Αἰγυπτίων ἐμνήσθησαν καὶ ἀπετέλεσαν περὶ αὐτῶν· ἐξ ὧν πρῶτος ἐγένετο Ἑρμῆς καὶ ἔγραψεν ἐν τοῖς κοσμικοῖς ἀποτελέσμασι περὶ τῆς τοῦ Κυνὸς ἀνατολῆς, καί ὁ Νεχάω τε καὶ ὁ Κερασφόρος καὶ ὁ Πετόσσιρις καὶ ὁ Νεχεψῶ καὶ ἄλλοι τινὲς ἀπὸ διαφόρων κλιμάτων ἔγραψαν περὶ αὐτῶν καὶ μάλιστα ὁ Τιμαῖος καὶ <ὁ> Ἀσκλατίων· ἀπὸ δὲ τούτων τῶν συγγραφέων ὠφεληθέντες οἱ μεταγενέστεροι αὐτῶν ἐτήρησαν ἐν διαφόροις τόποις καὶ πολλοῖς τὰς ἀνατολὰς καὶ τὰς δύσεις καὶ τὰς ἄλλας αὐτῶν ἐπισημειώσεις ἃς ποιοῦνται ἐν ὁποίῳ κλίματι, καὶ ἀπεγράψαντο τὸ ποιητικὸν τῆς ἐνεργείας <αὐ>τῶν σχεδὸν πρὸς ἡμέραν, Μέτων μὲν καὶ Ἀπολλινάριος καὶ Εὐκτήμων ἐν Ἀθήναισι καὶ Δοσίθεός τε ἐν Ἰωνίᾳ καὶ Κάλλιππος ἐν Ἑλλησπόντῳ καὶ Φίλιππος ἐν Πελοποννήσῳ καὶ Φωκίδι καὶ Λοκρίδι, Ἵππαρχός τε ἐν Βιθυνίᾳ· καὶ φέρονται ἐν ἑκάστῳ τῶν προειρημένων ἀνδρῶν συντάγματα περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων .... Καὶ Ἀντίοχος δὲ καὶ Βάλης καὶ Ἀντίγονος καὶ Ἡραΐσκος καὶ ἄλλοι τινὲς πολλὰ καὶ διάφορα ἔγραψαν περὶ τῆς δυνάμεως αὐτῶν, καθὼς ἔγκειται ἐν τοῖς συγγράμμασι αὐτῶν, καὶ Σεραπίων δὲ καὶ μετ'

3 Cod. Angel. 29, f. 141^v. — Hoc fragmentum cum notulis quibusdam edidi in *Revue de l'Instr. publ. en Belg.*, 1897, p. 8 s. 4 φάσεως suppl. 8 μένδιον cod. 9 lacunam indicavi. Ἐφῆς nomen ignotum fort. corrupt. 12 νευχάω cod. 15 ὁ suppl., cf. sup. Valentem v. 19. 19-22 Μέτων ... Βιθυνίᾳ ex Ptolemaei Apparitionibus (cf. Lydus, ed. Wachsmuth, p. 275, 6 ss.) 19 αὐτῶν] τῶν cod. μεθ' ὧν cod. 22 Λοκρίδι] βραχίδι cod. 24 Post ἀστέρων aliena in cod. irrepserunt βαλῆς cod. 26 ἔγκεινται cod.

αὐτὸν Πτολεμαῖος γινόμενος ἀπετέλεσε περὶ αὐτῶν. Ἀλλ' οὐδεὶς ὧν προεῖπον ἀνδρῶν μετήγαγεν ἐκ τοῦ ἀστρονομουμένου τὰς νῦν αὐτῶν οὔσας ἐποχὰς οὐδὲ τὸ ποιητικὸν τῆς κράσεως αὐτῶν. [F. C.]

1 ἀπετέλεσαν?

Ex libro Lydi de ostentis (scr. c. ann. 560 p. C. n.).

C. 2. Ἁρμόδιον δὲ εἶναι νομίζω τῷ περὶ τῶν τοιούτων γράφειν ἐθέλοντι, πόθεν τε ἡ τῶν τοιούτων κατάληψις ἤρξ[ατο, λέγ]ειν, καὶ ὅθεν ἔσχε τὰς ἀφορμάς, καὶ ὅπως ἐπὶ τοσοῦτον προ[ῆλθεν] ὡς καὶ αὐτούς, εἰ θέμις εἰπεῖν, Αἰγυπτίους ὑπερβαλεῖν. τούτων [γὰρ δή, μετὰ] Ζωροάστρην τὸν πολύν, Πετόσιρις τοῖς εἰδικοῖς τὰ [ἐν γένει διαπλέ]ξας πολλὰ μὲν κατ' αὐτὸν παραδοῦναι βιάζεται, οὐ πᾶ[σι δὲ παρα]δίδωσι ταῦτα, μόνοις δὲ τοῖς καθ' αὑτόν, μᾶλλον δὲ ὅσοι καὶ [αὐτῶν] πρὸς στοχασμοὺς ἐπιτηδειότεροι. Ἀντίγονος δὲ μετ' ἐκεῖνον δι[έκριν]ε μὲν καὶ διήρθρωσε τὴν παράδοσιν, πρὸς δὲ τὸ πυκνὸν [τῶν ἐν τῇ ἀστρ]ονομίᾳ γραμμῶν ἀποκλίνας ἀμύθητον ὄχλον [καὶ ἀσαφείας πάσης ἀ]νάμεστον τῇ γραφῇ συγκατέθετο. τὰ γὰρ Ἀριστοτέλει εἰρημένα γνωριμώτατα. Ἡλιόδωρος δὲ καὶ Ἀσκλατίων, ἔτι καὶ Ὠδαψὸς ὁ Θηβ[αῖος καὶ ὁ Αἰγιεὺς] Πολλῆς καὶ ὁ θειότατος πρὸ αὐτῶν Πτολεμαῖος, οὐ μέχρι παντὸς ἴσχ[υσ]αν τὴν παλαιὰν ἀσάφειαν τοῦ πράγματος ἐκβαλεῖν, καίτοι γε σφόδρα καὶ τοῦτο ποιῆσαι σπεύσαντες. [F. C.]

Deinde loquitur Lydus de Tagete, Tarchonte, Tarquitio Etruscorum disciplinae sacrae interpretibus et de aliis scriptoribus latinis.

Ed. Wachsmuth (1897), p. 6. 5 ἰδικοῖς C(aseolinus). γενικὰ συμμί]ξας coni. Kroll. 12 Pro Asclatione dubitanter proposuit Hase Ascletarionem quo de cf. Sueton. Domitian. c. 15. Sed cf. supra Valentem v. 19. Ὠδαψός scripsit Wachsmuth pro Δαψός ex Hephaestione. καὶ ὁ Αἰγιεὺς suppl. Wachsmuth ex Suida.

Ex libro apotelesmatico Masalae (770-820? p. C. n.)[1].

Λόγος τοῦ σοφωτάτου Μασάλα περιέχων τὸν ἀριθμὸν τῶν βιβλίων, ὧν ἐξέθετο ἕκαστος τῶν παλαιῶν σοφῶν, καὶ τὰς δυνάμεις τῶν βιβλίων.

Εἶπεν ὁ Μασάλα ὅτι· εἶδον τοὺς παλαιοὺς σοφοὺς ἔχοντας ἀμφιβολίας περὶ ὑποθέσεων τινῶν ἀστρονομικῶν, ὧν σοφῶν πλῆθος γέγονε

1 Cod. Vaticanus graecus 1056, saec. XIV, f. 242 s. Plagulam cum codice denuo contulit J. Bidez.

[1] De Masala vel potius "Maschallah al-Misri" qui vixit temporibus Almansoris et Almamunis chalifarum, cf. Salmasius, *De annis climactericis*, p. 309, et Steinschneider, *Die hebräischen Uebersetzungen des Mittelalters*, p. 599-603.

τῶν βιβλίων· καὶ διὰ τοῦτο σύγχυσις γίγνεται τοῦ νοὸς τοῦ ταῦτα ἀναγινώσκοντος. ἐγὼ δὲ ἐξεθέμην τὴν τοιαύτην βίβλον, συνοπτικῶς δηλώσας ἐν αὐτῇ τὰ ἀναμφίβολα καὶ τὰ τῶν λόγων κρείττονα ἀπό τε τῶν βιβλίων τοῦ Πτολεμαίου καὶ τοῦ Ἑρμοῦ, τῶν μεγάλων σοφῶν καὶ πολυμαθῶν, ὡσαύτως καὶ ἀπὸ τῶν βιβλίων τῶν καταλειφθέντων παρὰ τῶν πρὸ ἐμοῦ τοῖς παισὶν αὐτῶν εἰς κληρονομίαν. Οἱ ἐκθέμενοι δὲ τὰ βιβλία εἰσὶν οὗτοι·

Ὁ Ἑρμῆς ἐξέθετο βιβλία κδ'· ἀφ' ὧν εἰσι γενεθλιαλογικὰ ιϛ', περὶ ἐρωτήσεων ε', περὶ τῶν μοιρῶν τῶν ζῳδίων δύο, καὶ περὶ λογισμοῦ α'.

Ὁ Πλάτων βιβλία ζ'· ἤγουν περὶ γενεθλίων ε', καὶ περὶ ἐρωτήσεων β'.

Ὁ Δωρόθεος βιβλία ια'· ἤγουν περὶ γενεθλίων δ', περὶ ἐρωτήσεων γ', περὶ λογισμοῦ γ', καὶ περὶ τῶν συνόδων α'.

Ὁ Δημόκριτος βιβλία ιδ'· ἤγουν περὶ γενεθλίων ϛ', περὶ ἐρωτήσεων δ', περὶ τῶν συνόδων δύο, περὶ λογισμοῦ α', καὶ περὶ τῶν κλιμάτων α'.

Ὁ Ἀριστοτέλης βιβλία ι'· ἤγουν περὶ γενεθλίων γ', περὶ ἐρωτήσεων δύο, περὶ τῆς δυνάμεως τῶν ἀστέρων καὶ τῶν ζῳδίων καὶ τῆς συμφωνίας αὐτῶν ε'.

Ὁ Ἀντικοὺς[1] βιβλία ζ'· ἤγουν περὶ γενεθλίων ε', καὶ περὶ ἐρωτήσεων β'.

Ὁ Οὐάλης βιβλία δέκα ἔχοντα τὰς δυνάμεις τῶν ὅλων βιβλίων.

Ὁ Ἐρασίστρατος βιβλία ι<α'>· ἤγουν περὶ γενεθλίων δ', περὶ τῆς δυνάμεως τοῦ Ἡλίου πρὸς τοὺς ἀστέρας α', περὶ λογισμοῦ α', περὶ ἐρωτήσεων δύο, περὶ τῶν συνόδων δύο, καὶ περὶ τῶν φαρταρίων α'.

Καὶ ὁ Στόχος[1] βιβλία ϛ'· ἤγουν περὶ γενεθλίων γ', περὶ ἐκλείψεων α', περὶ συνόδων α', καὶ περὶ εὐτυχιῶν καὶ ἀτυχιῶν α'.

Οἱ δὲ Πέρσαι ἐξέθεντο βιβλία μδ'· εἰς ἃ καὶ ἐδήλωσαν τά τε παρεληλύθοτα καὶ τὰ μέλλοντα· ἐξέθεντο δὲ καὶ ἕτερα δύο μεγάλα καὶ ἀναγκαῖα βιβλία, τὸ μὲν πρῶτον περὶ γενεθλίων καὶ τὸ ἕτερον περὶ ἐρωτήσεων, ἔχον ἕκαστον βιβλίον κεφάλαια α' (?), ἔχον ἕκαστον αὖθις κεφάλαιον λόγους δ'· ἃ καί ἐστιν ἀποδεδομένα εἰς Ἰνδίαν μὴ ἐκβληθέντα πρὸς ἡμᾶς.

Ταῦτά εἰσι τὰ βιβλία τὰ εὑρεθέντα ἐν ταῖς ἡμέραις ἡμῶν, περὶ ὧν καί, ὡς εἴρηται, ἐδήλωσα, ὅπως γνώσητε ὅτι πολλὰ ἐκοπίασα πρὸς τὸ παρεκβαλεῖν καὶ ἐκθεῖναι τὴν παροῦσαν βίβλον ἀπὸ τῶν ῥηθέντων βιβλίων συνοπτικῶς ἐν τέσσαρσι λόγοις. [A. O.]

8 γενέθλια λογικὰ cod. 19 γεθλίων cod., ut infra 27. 21 βιβλίων] an ἀστέρων? 22 ι' cod., α' add. 25 γενεθλίων, νε suprascr. cod. 30 α'] ἃ cod. Numerus corruptus. 31 ἀποπεθόμενα (π alterum dubium est) cod. Scripsi ἀποδεδομένα. ἰνδία cod.

[1] ['Αντικοὺς haud aliud est atque Ἀντίοχος (cf. *supra*, p. 66), quod nomen arabice *Antikus* scriptum erat. Στόχος quid significet nescio, nisi forte ex Στωϊκός corruptum sit. Mirum est Ptolemaei tetrabiblum non commemorari. — F. C.]

Ex libro apotelesmatico Apomasaris († 885 p. C. n.)[1].

Indicis librorum prohibitorum aevi byzantini, ni fallor, fragmentum hic habemus, librorum scilicet in bibliotheca palatii Cpolitani asservatorum (cf. Richter, *Quellen der byz. Kunstgesch.*, 1897, p. 411). De bibliotheca Chalifarum Bagdadae vix est cogitandum, nam farrago ista apotelesmatica quae Apomasaris nomen prae se fert, partim certe posterius apud Graecos confecta est. Etenim si huic libro credendum esset, Apomasar mira rerum futurarum divinatione astrologorum qui post mortem eius scripserunt, nomina praenovisset. Ergo ex codicibus qui Constantinopoli in palatio exstabant alii (τὰ κοινά) petenti cuivis commodabantur, alii vero (τὰ κωλυόμενα) legi non poterant, et ex catalogo horum operum titulos qui ad disciplinam suam pertinerent, excerpsit hariolus quidam illius temporis. Quod tempus accurate definiri nequit, et dum plura ex Apomasaris, ut haberi vult, interprete edita sint, coniecturis abstinere praestat. Termini tamen extremi sunt saeculum decimum quo vixit Isac ben Salomon et annus 1388 quo descriptus est codex Angelicanus. — Mirum est tamen, si res ita se habet, quam multa opera ex orientis linguis versa vel certe orientalibus scriptoribus tributa in imperatorum palatio fuerint et fieri potest ut hic index ad bibliothecam quandam arabicam pertineat, ubi Stephani Alexandrini, Ps. Aristotelis, Palchi, Hermetis, Valentis scripta e graeco sermone translata cum vernaculis libris asservabantur. Nominibus quae nobis quidem aliunde cognita erant, notulam addidimus ut aliquid saltem ad antiquissimum codicum catalogum recte aestimandum conferremus. Semiticarum litterarum peritioribus cetera commendamus.

Περὶ τῶν ἀποκειμένων ποτὲ ἐν τῷ παλατίῳ βιβλίων μαθηματικῶν καὶ μὴ διδομένων.

Εἶπεν ὁ αὐτὸς (sc. ὁ Ἀπομάσαρ) ὅτι τὰ ἀποτελεσματικὰ βιβλία τὰ ἀποκειμένα ἐν τῷ παλατίῳ καὶ μὴ διδόμενα τινὶ εἰς ἀνάγνωσιν ἀλλὰ κωλυόμενα εἰσὶ ταῦτα·

Τὸ ἀποτελεσματικὸν τοῦ Στεφάνου τοῦ Ἀλεξανδρέως [2].

Τοῦ Ἀριστοτέλους[3].

Τοῦ Θεοφίλου τοῦ υἱοῦ τοῦ Θωμᾶ[4].

E cod. Angelic. 29, an. 1388, f. 52, cap. ος' (= A) Idem excerptum, mutilum quidem, in cod Vatic. 1506, s. XIV, f. 204r (V) invenit F. Boll, qui apographum suum comiter mihi misit. — Folium 52 cod. A extrema parte exesum nova charta affixa, in qua verba oculis iam subducta transcripserat, glutinator sanavit. 1-2 βι]βλίων ... διδομένων A m. 2. 3-4 βιβλία ... διδό]μενα A m. 2. 4-5 κωλυομένων (*sic*) ... ἀποτελεσματικὸν A m. 2. 6 τοῦ ἀλεξάνδρου τὸ ἀπ. τοῦ στεφάνου AV.

---

[1] Cf. supra, p. 40, n. 1.

[2] Cf. supra cod. 7, f. 240 (p. 20, n. 1).

[3] Cf. supra Masalae excerptum v. 16. [Ex hoc libro Ps. Aristotelico multa fragmenta e lingua arabica in latinam versa servavit liber a Petro Lichtenstein editus qui inscribitur *Iudicum in indiciis astrorum novem liber*, Basileae 1571 cum Albohazeno impressus atque his seorsum editus — F. B.]

[4] Theophili Edesseni filii Thomae fragmentum ex cod. 12, f. 56v infra edetur, ubi de scriptore nonnulla invenies.

Καὶ ἡ βίβλος τοῦ ἑρμηνευτοῦ Πάλχου[1].

Καὶ ἡ βιβλος τοῦ Χαμάσου[2].

Καὶ ἡ βίβλος τοῦ Χάλεκ.

Καὶ ἡ βίβλος Ἰσαὰκ τοῦ Σολομῶνος[3].

Καὶ ἡ βίβλος Ἰωάννου τοῦ υἱοῦ Χάλετ.

Ἡ βίβλος τοῦ περὶ ἐμπορίας.

Ἡ βίβλος Ἰωάννου τοῦ υἱοῦ Μούσουρ περὶ ἀναποδισμῶν καὶ ταπεινώσεων.

Ἡ βίβλος τοῦ ἀπὸ τῆς εὐδαίμονος Ἀραβίας[4].

Ἡ βίβλος ἡ περιέχουσα τὰς ὠφελείας τῶν ἀστέρων ἐν τῷ στοιχειωματικῷ τινὸς Βαβυλωνίου ἀνεπιγράφου.

Καὶ ἡ βίβλος τοῦ Ἀρτασέστρου ἡ περιέχουσα τὸν παρανατέλλοντα ἑκάστης μοίρας καὶ εὑρεθέντα διὰ πείρας ἀληθοῦς.

Καὶ ἡ βίβλος τῶν μυστηρίων τοῦ Ἑρμοῦ[5].

Καὶ ἡ βίβλος τοῦ Χαρανιώτ(ου), ἥτις εὑρίσκεται παρ' Ἑβραίοις.

Καὶ ἡ βίβλος τοῦ Βαβυλωνίου Φαρέχ.

Ἡ βίβλος ἡ περὶ τῶν μυστηρίων τῆς ἀστρονομίας·

Ἡ βίβλος τοῦ Οὐάλεντος περὶ τῶν παρανατελλόντων ἑκάστης μοίρας[6].

Ἡ βίβλος τοῦ Μασάλλα περὶ ἀκριβῶν ἐνθυμήσεων[7].

Ταῦτά εἰσι τὰ κωλυόμενα βιβλία· τὰ δὲ λοιπὰ ἀποτελεσματικά εἰσι κοινά. [F. C.]

1 καὶ omis A. 5 σολμ A : σολομῶντος V. 5 ἰω A. 6 ἐμπειρίας V. 7 μουσίου V. De Μωϋσοῦ cogitavi — Reliqua omissa sunt in V. 8 ταπεινώσεων] Codicis compendium sic legendum esse videtur, quamvis ταπεινωμάτων exspectes. 13 ἀληθ' vel ἀχηθ' A. Vix est nomen proprium. 15 Χαρανιωτ' A. ἡβραίοις A.

---

[1] Liber Palchi idem est sine dubio qui in cod. 11, f. 193 ss. servatur. Cur ἑρμηνευτής dictus sit non satis intellego.

[2] Chamasus non alius esse videtur atque Hamza Ispahanensis (Hamza ben Alhasan Alisfahâni) qui circa ann. 961, p. C. n. notissimam historiam scripsit (*Hamzae Ispahanensis annalium libri V*, ed. Gottwaldt 1844 s.). Nam et astronomiae, ut temporum rationis investigator, peritus fuit (cf. Albîrûnî, *Chronology of ancient nations*, ed. Sachau, 1879, p. 61 s. et passim).

[3] Isak ben Salomon Israeli, philosophus et medicus c. ann. 950 mortuus, medio aevo apud gentes occidentis quoque celeberrimus fuit (Cf. Steinschneider, *Die hebräischen Uebersetz. des Mittelalters*, t. I, § 223 s. [p. 338] et § 479 s. [755 sqq.]. Etsi a mysticis doctrinis non abhorruit (Steinschneider, § 227), astrologiam tamen coluisse non videtur.

[4] Quis Hermetis Trismegisti liber ita designetur incertum.

[5] Agitur fortasse de libro quodam astrologico Sabaeorum Carrhensium in hebraïcam linguam translato, cf. Chwolsohn, *Die Ssabier*, t. I, p. 715, t. II, p. 464. "Liber Haranitarum", (ktâvâ d'hârânâîê) Syris quoque notus erat, cf. Payne-Smith, *Lexic. Syr.* s. v., t. I, p. 1376. — Formam tamen Χαρανιώτ(ου ?), aliud innuere videtur.

[6] De Vettio Valente ne plura hic verba faciamus, cf. Riess in Pauly-Wissowa, *Realenc.*, t. II, c. 1822, supra p. 79.

[7] Cf. supra, p. 81, n. 1.

EXCERPTUM EX CODICE 2 (LAUR. 28, 17).

Samspuchari de temporum rationibus.

Herm. Useneri beneficio qui exemplar suum accurate descriptum passimque correctum e scriniis depromptum ornatissimis liberaliter nobiscum communicavit, factum est ut hoc Persarum scientiae specimen proferre nobis liceret. Σαμψουχαρῆς vel rectius Σὰμψ πουχαρῆς cui hoc opus a graeco interprete tribuitur, est Sams Bukharensis (Šams Aldin al Bukhârî ?) astronomus qui saeculo XIII floruisse videtur. (Cf. Usener, ***Ad historiam astronomiae symbola***, Bonn, 1876, p. 15, n. *d* et 22 sq.). — Commentaria eorum quae edimus similia in principio operum orientalium astronomiae vel historiae scriptorum non raro inveniuntur velut apud Alfergani (***Elementa astronomica***, ed. Golius, 1669) et Albîrûnî (***Chronology of ancient. nations***, ed. Sachau, 1879) virum eximiae doctrinae et Bukharensi isto multo praestantiorem. — Interpretis graecae linguae imperiti stylum barbarum corrigere nolui. Praemonere sufficiat verba χρόνος (annus) et καιρός (tempus) sicut in sermone vulgari accipienda esse, ἔτος pro ἔτων περίοδος usurpari et τὸν ψῆφον perpetuo dici.

F. 4. Διάγνωσις τῶν χρόνων.

Ἐνταῦθα μέλλει ῥηθῆναι πῶς κρατοῦσι τοὺς χρόνους πᾶν ἔθνος, Πέρσαι, Χριστιανοί, Ἑβραῖοι, Εἰδωλολάτραι, Χεταῖοι, ἀστρονόμοι, Ἰνδοί.

Οἱ μὲν ἀστρονόμοι κυρίως τὸν χρόνον ἀπὸ τοῦ ἡλίου κρατοῦσι τὸ πρῶτον τοῦ χρόνου ἐκεῖθεν ἀριθμοῦντες ἀπὸ τῆς ἀνατολῆς τοῦ ἡλίου.

Οἱ Πέρσαι δὲ τοὺς χρόνους ἀπὸ τῆς σελήνης ἀριθμοῦσι, καὶ πρῶτον δὲ χρόνον ἀπὸ τοῦ Μουχαρὰμ κρατοῦσι, τὴν ἀρχὴν δὲ τοῦ μηνὸς ἐκείνων ἐξ ἐκείνου λογίζονται, ὅταν ἴδωσι νέαν σελήνην.

Οἱ Χριστιανοὶ τοὺς χρόνους ἀπὸ τοῦ ἡλίου ἀριθμοῦσιν· ἀλλ' οὐκ ἔστι τοῦτο κυρίως διὰ τοῦτο ὅτι ὁ εἷς ἐκείνων χρόνος τξε΄ ἡμέραι καὶ τέταρτον, ἐρρέθη δὲ ὅτι ὁ χρόνος οὗτος τοῦ ἡλίου τετελειωμένος οὐκ ἔνι· λείπει γάρ τι ἀπὸ τοῦ τετάρτου· πάντως δὲ τὸν χρόνον τοῦτον ἐκεῖνοι ἐπὶ τούτῳ κρατοῦσι καθότι ὁ χρόνος τοῦ ἡλίου καταπολύ ἐστι τοῦ τελείου· καὶ τὴν ἀρχὴν δὲ τοῦ χρόνου ἐκείνων κατὰ τὸ μέσον τοῦ Ζυγοῦ τιθέασιν· ἀλλὰ καὶ τὴν ἀρχὴν τῶν μηνῶν αὐτῶν ἀπὸ τοῦ Σεπτεβρίου λογίζονται.

8 Μουχαράμ = Moharem, arab. primus mensis. 9 εἴδωσι cod., corr. Usener.

Οἱ τῷ πυρὶ λατρεύοντες Πέρσαι τὸν χρόνον τοῦ ἡλίου κρατοῦσι δίχα τοῦ τετάρτου τοῦ πλεονάζοντος ἀπὸ τῶν τξε' ἡμερῶν· καὶ γὰρ ὁ χρόνος ἐκείνων τξε' ἡμέραι γίνονται.

Οἱ Αἰγύπτιοι τὸν χρόνον ὡς οἱ Πέρσαι κρατοῦσι, καὶ οἱ ἀπὸ τοῦ Ἀδὰμ δὲ οὕτως ἐψήφουν τοὺς χρόνους καθὼς καὶ οὗτοι νῦν.

Οἱ Ἑβραῖοι δὲ καὶ οἱ Ἰνδοὶ καὶ οἱ Χεταῖοι τοὺς χρόνους κρατοῦσι τοῦ ἡλίου [τοὺς] κυρίως, ὁμοίως δὲ καὶ τοὺς τῆς σελήνης κυρίως· τὴν ἀρχὴν δὲ τοῦ μηνὸς ἐκεῖθεν κρατοῦσιν ἀπὸ τῆς συνόδου ἡλίου καὶ σελήνης οὕτως ἵνα πρὸ τοῦ μέσου τῆς ἡμέρας ἢ μετὰ τὸ μέσον συνοδεύσῃ τῷ ἡλίῳ ἡ σελήνη· καὶ τὴν ἀρχὴν δὲ τοῦ μηνὸς αὐτῶν κατὰ τὴν ἐπιοῦσαν ἡμέραν λογίζονται.

Οἱ Ἰνδοὶ τὴν ἀρχὴν τοῦ χρόνου αὐτῶν ἐξ ἐκείνου λογίζονται, ἡνίκα ὁ ἥλιος γένηται πλησίον τοῦ Κριοῦ· εἰ δὲ ἐγγύς ἐστι τοῦ ἰστημᾶ ἤτοι ...., ἀπὸ τούτου κρατοῦσι τοῦτον. Οἱ Ἑβραῖοι τὴν ἀρχὴν τοῦ χρόνου αὐτῶν ἀπὸ τούτου κρατοῦσιν, ὁπόταν ὁ ἥλιος γένηται πλησίον τοῦ Ζυγοῦ. Ἡ ἀρχὴ δὲ τοῦ χρόνου τῶν Χεταίων τότε ἐστίν, ὅταν ἔλθῃ ὁ ἥλιος εἰς τὸν Ὑδροχόον κυρίως ἢ κατὰ τὸ μέσον ἢ τὸ τέλος ἢ τὴν ἀρχήν.

Ἐπεὶ οὖν οὗτοι ἐκράτησαν τὸν χρόνον ἀπὸ τοῦ ἡλίου καὶ τοὺς μῆνας ἀπὸ τῆς σελήνης, εὗρον ὅτι μέσον τοῦ χρόνου τοῦ ἡλίου καὶ τῆς σελήνης λείπουσι ι' ἡμέραι καὶ περιττεύουσι καὶ ε'· συνάγεται οὖν ὅτι κατὰ γ' χρόνους περιττεύει εἷς μήν· ὁ πρῶτος τοίνυν τούτων χρόνος ἐστὶ περιττός, ἤτοι μῆνες ιγ'· τοῦτον τὸν μῆνα ἕκαστος ἰδίᾳ ἐκάλεσεν, οἱ Ἰνδοὶ γατμασάν, οἱ Ἑβραῖοι ἐμπεὶρ, καὶ οἱ Χεταῖοι σούν.

Ἐπεὶ οὖν ἐρρέθη ὁ σκοπὸς τῶν χρόνων καὶ τῶν ἡμερῶν εἰς τὸν ψῆφον, ὃς μέλλει εἶναι εἰς πάσας τὰς συντάξεις, ἡ διδασκαλία δὲ αὕτη θεμέλιον ὀφείλει εἶναι τῶν συντάξεων ἁπασῶν, χρὴ ῥηθῆναι καὶ τὰς ἄλλας τῆς ἐπιστήμης μεθόδους καὶ μεταχειρίσεις, καθὼς εἴρηται εἰς τὴν σύνταξιν τοῦ Ἀλαῆ·[1] εἰς ἐκείνην δὲ τὴν σύνταξιν τοῦ Ἀλαῆ ξ' κεφάλαια ἐτέθησαν, καὶ ἡ ἀρχὴ δὲ τοῦ πρώτου κεφαλαίου ἡ διδασκαλία τῶν καιρῶν ὡς ῥηθήσεται.

Ἐπεὶ κατελήφθησαν οἱ χρόνοι καθὼς ἕκαστος ἔθηκε, καὶ ὁ καιρὸς ἑκάστου ῥηθήσεται. ὁ καιρὸς οὖν θεμέλιον ἔστι, καὶ οἱ χρόνοι ἐν τούτῳ ἔχουσι τὸ ἑδραίωμα διὰ τοῦ γνωρίσματος τῶν ἄλλων καιρῶν· ἐκεῖνο δὲ τὸ θεμέλιον ἀπὸ τοῦ χρόνου ὀφείλει κρατηθῆναι, οἷον ὅτι εἰς τὸν χρό-

7 τοὺς secl. 13 ἰστημᾶς quid sit nescio. 14 Lacunam praebet codex. 15 αὐτῶν] τούτων cod. cf. 29. 21 πρῶτος] lege τρίτος. 24 ἐμπεὶρ = hebr. *'ibbûr*, nam μπ = b Cf. Ideler, *Chronologie*, I. 532.

---

[1] " Ἀλαῆ non scriptor est sed titulus libri decurtatus ex *alzig al' alâi* hoc est tabularum in honorem viri illustris alicuius Alâ-aldaulah editarum. Quales complures Hagi Khalfa memorat... " Gildemeister ap. Usener, *Ad histor. astronomiae symbola*, 1876, p. 16 *i*.

νον ἐκεῖνον ἵνα μέγα ἔργον ἐφανερώθη εἰς τὸν κόσμον ἢ εἰς τὸν οὐρανὸν ἢ εἰς τὴν γῆν ὡς ἔκλειψις ἡλίου καὶ σελήνης καὶ ὁ κατακλυσμὸς ἢ μεγάλου προφήτου ἐμφάνεια ἢ ἀπώλεια ἔθνους ἢ γέννησις εὐτυχοῦς· ἀφ' ὧν ἕκαστον ἐπὶ χρόνοις συμβαίνει μακροῖς καὶ εἰς τοὺς ἀνθρώπους διάδηλον γίνεται. καὶ πᾶν δὲ γένος ἀνθρώπων τῶν ῥηθέντων μίαν τεθείκασιν ἀρχὴν ὡς θεμέλιον καὶ πράττουσι δι' αὐτοῦ· ὕστερον δὲ τῶν χρόνων τοῦ ἡλίου καὶ ὕστερον τῶν χρόνων τῆς σελένης καὶ ὕστερον τῶν β' οἱ ἀστρονόμοι τὰς συντάξεις καὶ τὰ ὡρολόγια καὶ τὰ αὐθημερινά, δι' ὧν ἐργάζονται, εἰς τοῦτο τεθείκασιν ὅτι ἀπὸ τοῦ κατακλυσμοῦ ἄλλοι πέντε καιροί εἰσιν.

Κεφάλαιον πρῶτον.

Τὸ πρῶτον ἔτος, ὅπερ τερὶχ λέγεται κατὰ Πέρσας, ἀπὸ τοῦ Ναβουχοδονόσορ· καὶ ἡ ἀρχὴ τοῦ ἔτους τούτου, ἀφ' οὗ ἐκάθισεν οὗτος εἰς τὴν ἀρχήν. ἡ δὲ ἀρχὴ τοῦ ἔτους ἐκείνου ἡμέρα ἦν δ'. ἡ ἡμέρα ἐκείνη ἀρχὴ τοῦ παρὰ τοῖς Αἰγυπτίοις μηνὸς τοῦ Θώθ πρώτου ὄντος παρ' αὐτοῖς. καὶ τοὺς χρόνους τούτων οἱ Κιπτίδες κρατοῦσιν. οἱ δὲ μῆνος εἰς τὴν διάλεκτον ἐκείνων οὕτως *** ὡς κρατοῦσιν οἱ Πέρσαι, τξε' ἡμέραι. καὶ ὁ Πτολεμαῖος δὲ τὴν ὁδὸν τῶν ἀστέρων εἰς τὸ βιβλίον ἐκείνου ὅπερ ὀνομάζεται μυζατῆς <εἰς> τὸ ἔτος τόδε τέθεικεν.

Τὸ δεύτερον ἔτος ἀπὸ τοῦ Μακεδόνος Ἀλεξάνδρου ὕστερον τοῦ βασιλέως Βαβυλῶνος [καὶ] τοῦ Ναβουχοδονόσορ· τῷ ἔτει τῷδε χρῶνται οἱ εἰρημένοι Κιπτίδες, καὶ οἱ χρόνοι ἐκείνων κατὰ Πέρσας. ἡ ἀρχὴ οὖν τοῦ χρόνου ἀφ' οὗ ἐκάθισεν ἐκεῖνος εἰς τὴν ἀρχὴν ἡμέρα α', ἥτις γίνεται α' τοῦ Θὼθ μηνός, ὕστερον τοῦ ἔτους Ναβουχοδονόσορ· ἀπὸ τοῦ χρόνου τούτου μέχρι καὶ τοῦ Ἀλεξάνδρου υκδ' χρόνοι παρῆλθον·[1] καὶ εἰς τὸ υκε' ἔτος ἔστι τοῦτο τὸ δεύτερον ἔτος. καὶ ὁ Πτολεμαῖος τὴν ὁδὸν τῶν ἀπλανῶν ἀστέρων εἰς τοῦτο τὸ ἔτος τέθεικε, καὶ ὁ Θαούνης δὲ ὁ Ἀλεξανδρεὺς τὴν ὁδὸν τῶν ἀστέρων ἐν τῇ τούτου συντάξει, ὅπερ κανόνιον ὀνομάζεται, εἰς τοῦτο τὸ ἔτος ἔθηκε.

Τὸ τρίτον ἔτος ἀπὸ τοῦ χρόνου Ἀλεξάνδρου τοῦ υἱοῦ Φιλίππου· οὗτος Δουλκαρνάην ὀνομάζεται. τούτῳ τῷ ἔτει χρῶνται οἱ Ῥωμαῖοι καὶ Σύροι, καὶ τοὺς χρόνους τοῦ ἔτους τοῦδε οἱ Ῥωμαῖοι κρατοῦσιν·

1 μέγα ἔργον ἵνα cod. 4 εὐτυχοῦς] vix sanum. 6 τεθείκασι cod., idem 61. 9 αὐθημερινόν pro ἐφημερίς vel ἡμερολόγιον " *calendarium* „ posuit. 13 τερίχ = pers. tarikh, *aetas*, *aera*. 14 Ναβουχοδονόσορ] Aera Nabonassaris. 15 τούτων sc. Persarum. 16 Post οὕτως hiatus fort. homoeoteleuto ortus. 18 μυζατῆς] *al-migistî* = Almagestum. 19 εἰς (ante τὸ ἔτος) interposui, sed adhaeret opinor verbo antecedente, ut scribendum sit μυζατῆ, εἰς " Usener „. 21 καὶ del. 29 Θαούνης est Theon. 31 Δουλκαρνάην = *bicornutus*.

---

[1] Cf. Theodorum Meliteniotam ap. Usener, *op. cit.*, p. 12, f. 259r. — De aera Philippi Aridaei agit, quae revera anno *mortis* Alexandri incipiebat, cf. Albîrunî, *Chronology*, ed. Sachau, p. 31.

ὁ πᾶς δὲ χρόνος τούτων ἡμέραι τξε' καὶ τέταρτον· ὅπερ τέταρτον εἰς τοὺς δ' χρόνους μία πληροῦται ἡμέρα. ἐκείνην τὴν ἡμέραν κατὰ τὸν μῆνα τὸν Σουμπὰτ ἤτοι τὸν Φευρουάριον προστιθέασιν· ὅθεν ὁ χρόνος ἐκεῖνος τξς' ἡμέραι εἰσίν· οὗτος δὲ καλεῖται καπισά, ὃν βίσεξτον Ῥωμαῖοι καλοῦσιν. οἱ δὲ μὴ ἔχοντες χρόνοι εἰς πρόσθεσιν τὴν ἡμέραν ταύτην λέγονται πασιτά. ἡ ἀρχὴ οὖν τοῦ ἔτους τούτου ἡμέρα β', ἥτις καὶ ἀρχὴ ἐστὶ τοῦ μηνὸς ἐκείνων τοῦ Τασιρῆ. καὶ τὴν ἀρχὴν τοῦ χρόνου ἐκείνου τινὲς ἀπὸ τοῦ ς' κρατοῦσι· τὸ ὄνομα δὲ τοῦ μηνὸς ἐκείνων Ἀδάρ, διὰ τοῦτο ὅτι ἡ ἀρχὴ τοῦ κόσμου εἰς τοῦτον τὸν μῆνα ἀνακαινίζεται ἤτοι λαμβάνει ἀρχήν. διὰ τοῦτο καὶ ὁ Πατανῆς[1] τὴν ὁδὸν τῶν ἀστέρων εἰς τὴν σύνταξιν αὐτοῦ ἐν τούτῳ τῷ ἔτει τέθεικε, τὴν ἀρχὴν δὲ τοῦ ἔτους αὐτοῦ ἀπὸ τοῦ Ἀδὰρ ἔθηκε.

Τὸ τέταρτον ἔτος· τοῦτο κρατοῦσιν οἱ Πέρσαι, ὅτι ἡ ἀρχὴ τοῦ ἔτους τούτου ἐξ ἐκείνου ἀριθμεῖται ἀφ' οὗ ὁ Μωάμεθ ἀπὸ τοῦ Μακκᾶ ἐπορεύθη εἰς τὴν Μαδινιαίαν. ἡ ἀρχὴ δὲ τοῦ ἔτους τούτου ἡμέρα ϛ', καὶ ἡ ἀρχὴ τοῦ μηνὸς τοῦ Μουχαράμ· οὕτω δὲ τὸ ὄνομα τούτου καλοῦσιν οἱ Ἄραβες· καὶ οἱ χρόνοι ἐκείνων τῆς σελήνης οἱ χρόνοι, ἡμέραι τνδ' ὁ χρόνος καὶ κβ' λεπτά· τὰ κ' οὖν λεπτὰ κατὰ γ' χρόνους μία ἡμέρα γίνεται, τὰ δὲ β' κατὰ λ' χρόνους ἡμέρα μία, ὥστε κατὰ λ' χρόνους ια' ἡμέραι γίνονται περισσαί· συμβαίνει οὖν εἰς τοὺς λ' χρόνους ια' εἶναι *** χρόνους εἶναι καπισά· ἐκεῖνος δὲ ὁ χρόνος τοῦ καπισὰ τνε' ἡμέραι. οἱ δὲ ἄλλοι χρόνοι οἱ ἀνὰ τνδ' ἡμέρας ὄνομα τούτοις πασιτά. οἱ μῆνες οὖν τοῦ ἔτους τούτου κατὰ β' τρόπους ψηφίζονται· καθ' ἕνα μὲν ἀριθμοῦσιν οἱ Πέρσαι· ἐκεῖνοι δὲ τοῦ ψήφου τὴν ἀρχὴν ἀπὸ τότε κρατοῦσιν ἡνίκα ἴδωσι τὴν σελήνην νέαν. μετὰ τοῦ ψήφου τοίνυν τούτου ἔστι καιρὸς ὅτι γ' μῆνες ἀνὰ κθ' ἡμέρας ἔχουσι· καὶ ἄλλος δὲ καιρὸς ὅτι δ' μῆνες ἀνὰ λ'. τοῦτο καλοῦσι ψῆφον ῥοιάτουχιλαλι· διὰ τοῦτο εἰς μίαν τάξις οὐδέν εἰσιν. οἱ δὲ ἀστρονόμοι ἀπὸ τῆς ἀρχῆς τοῦ χρόνου τὸν α' μῆνα ἀνὰ λ' ἡμέρας κρατοῦσι, τὸν δὲ μετ' αὐτὸν ἀνὰ κθ' καὶ οὕτως ἀριθμοῦσιν ἐναλλὰξ μέχρι καὶ τῆς τοῦ χρόνου τελειώσεως· τοῦτον δὲ τὸν ψῆφον καλοῦσιν ἄμπρι ἀουσάτ· καὶ ὁ ψῆφος τῶν συντάξεων ἁπασῶν εἰς τοῦτόν ἐστι τὸν ψῆφον. μετὰ δὲ τούτου τοῦ ψήφου καὶ τοῦ α' συμβαίνει γ' ἡμέρας ἐλλείπειν

3 σουμπάτ = mensis Syrorum *shebât*. 4 καπισά = syr. *kbishâ* " intercalaris ", Arab. *kebîse*. 6 πεσιτά = syr. *pshitâ* " simplex ". 8 τασιρή = mensis syr. *tishri*. 9 ἀδάρ = mensis syrorum *Adar* i. e. Martius. 16 Μουχαράμ cf. *supra*, p. 85, v. 8. 18 κβ' λέπτα] lege ἡμέραι τνδ' ὧραι η' καὶ μη' λεπτά· αἱ η' οὖν ὧραι ... γίνονται, τὰ δὲ μη' λεπτὰ ... Cf. Ideler, *Chronologie*, II, 480 sqq. 21 Lacunam significavi. Καπισά cf. *supra*, v. 4. 22 τνε'] lege τξε'. 23 πασιτά cf. *supra*, v. 6. 25 εἴδωσι cod. 27 fort. τοῦτον. 28 verba corrupta. 30 ἀριθμοῦσι ἐναλὰξ cod., corr. Usener.

---

[1] " Πατανῆς, *al battâni* vel ut vulgo audire solet Albatgenius ... diem obiit a h. 317 (929, p. Cr.) " Gildemeister, *l. c.*, p. 15 *c*.

καὶ περιττεύειν, πλέον δὲ τούτου οὐκ ἂν γένοιτο ἔλλειψις ἢ πλεονασμός. καὶ ὁ Ἀβδουλαχμάνης ὁ Χαζηνὸς ὃς ἐποίησε τὴν ἀσφαλῆ καὶ στερεὰν σύνταξιν τοῦ Σαντζαρῆ [1] τὴν ὁδὸν τῶν ἀστέρων εἰς τοῦτο τὸ ἔτος ἔθηκεν. ἀρχὴ δὲ τοῦ ἔτους τούτου ἡμέρα ϛ', κη' τοῦ Καϊάκ, ὅς ἐστι μὴν γ' τοῦ μηνὸς Ναβουχοδονόσορ· ἀφ' οὗ εἰσι χρόνοι ͵ατο' μέχρι τούτου τοῦ τετάρτου ἔτους· ἀπὸ δὲ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρόνοι ͵ϡμϛ' μέχρι τούτου.

Τὸ πέμπτον ἔτος ἀπὸ τοῦ καιροῦ τοῦ Ἰασιαντζαρῆ τοῦ υἱοῦ Σαχιαρῆ τοῦ Μεστρέ,[2] ὑστέρου τῶν ἄλλων βασιλέων· τοὺς χρόνους τούτου κρατοῦσιν οἱ λατρεύοντες τῷ πυρί. ἀρχὴ τοῦ ἔτους τούτου ἡμέρα γ'· ἡ δὲ ἡμέρα ἐκείνη ἀρχὴ τοῦ Φαρβαδίν· καὶ ἡ ἀρχὴ τοῦ ἔτους τούτου ἡ ιθ' Καίχακη μηνός· χρόνοι οὖν ἀπὸ τοῦ Ναβουχοδονόσορ ͵ατπ' ἕως τοῦ καιροῦ τούτου, καὶ ἀπὸ τοῦ Μακεδόνος χρόνοι ͵ϡνς', καὶ ἀπὸ τοῦ Δουλκαρνάην ἀπὸ τῶν ις' τοῦ [τοῦ] Χαζυρὰν χρόνοι ͵ϡμγ' ἕως τούτου· κβ' οὖν τοῦ μηνὸς Ῥαμπαουὰλ χρόνῳ ια' κατὰ τὸν καιρὸν τοῦ Εἰζιράττο ἔτος Μωάμεθ· ποιητὴς τῆς συντάξεως Κασιαρὶ ἥτις ἐγένετο εἰς τοῦτο τὸ ἔτος, τὸ ὄνομα τούτου Ἀλῆς ὁ Ἀβδουλουκαρίμ· τὴν σύνταξιν Ἀλαῆ οὗτος εἰς τοῦτο τὸ ἔτος ἔθηκεν. ὁ Χουσάμης Σαλὰρ τὴν σύνταξιν Ἰσαχῆ ἐν τούτῳ τῷ ἔτει τέθεικε, καὶ ἡ σύνταξις τοῦ Φεχεὶρ εἰς τοῦτο τὸ ἔτος, καὶ ἡ σύνταξις τοῦ Ἀθυρατὶν εἰς τοῦτο τὸ ἔτος ἐγένετο· καὶ ἡ σύνταξις Μαχχὶ Μαγριπῆ εἰς τοῦτο τὸ ἔτος· καὶ ἡ σύνταξις δὲ τοῦ Χοντζανασύρη ἐν τούτῳ τῷ ἔτει ἐτέθη· καὶ ἑτέραι δὲ πλεῖσται συντάξεις κατὰ τὸ ἔτος τόδε ἐτέθησαν· διατί; ὅτι τοῦτο τὸ ἔτος παρὰ τὰ ἕτερα εὐκαταληπτότερον. [F. C.]

4 Volebat Χοιάκ, quem mensem notatu dignum non quartum sed tertium dici: sequitur igitur scr. annum Antiochenum (Usener). 9 τούτων cod. 11 φαρβαδίν mensis Persarum Farvadîn. 12 Καίκακι sine dubio Χοιακ(ί) (Usener). 14 τοῦ seclusi sed tota sententia corrupta videtur. Χαζυρά fortasse idem est atque Εἰζιράττο v. 34. 15 ῥαμπαουὰλ = mensis Arabum Rebî-el-Awwel. 15 εἰζιράττο = *hedschra*, hegira. 20-21 καὶ ἡ ... ἔτος suppletum in marg. cod.

---

[1] " Σαντζαρῆς titulus est libri *alzig alsangari*, tabularum quas *Abulfatch Abdalrahman Alkhâzin*, olim servus natione graecus condidit et illo indice in sultani *Sangar* honorem insignivit... Anno heg. 509, p. Chr. 1115 Sangar regnare coepit. " Gildemeister, *l. c.*, p. 15, n. *f.* — Theodorus Meliteniota Samspucharo perperam intellecto, inepte Santzarem nomen hominis esse credidit.

[2] Yazdajird ben Shahryâr ben Kisrâ Parwiz — sic apud Albîrunî appellatur (p. 35, Sachau) — anno 632, p. C. n. rex Persarum factus est.

[3] Ex hoc Sampsuchari loco speciosam orientalium scriptorum cognitionem mutuatus est Theodorus Meliteniota (Usener, *l. c.*, p. 14) qui Gildemeistero occasionem praebuit eruditissime de singulis disserendi.

EXCERPTA EX CODICE 8 (LAUR. 28, 14).

Haec HEPHAESTIONIS frustula publici iuris feci quasi libamenta totius operis quod propediem edere in animo habeo. Quae excerpta, extremo, si vis, excepto, ita cum capitibus, in calce unius cuiusque nostri signatis, libri I ex codicibus Parisinis ab Engelbrechtio editis, consentiunt, ut ea iterum comprobetur opinio, quam alias exposui (*Studi ital.* etc., VI, 7), recensionem codicum Parisinorum nullo modo unicam genuinamque, sed potius epitomen esse doctrinae celeberrimi auctoris.

F. 42v. κζ'. Τίνες τῶν ιβ' τόπων εἰσὶ βελτίους.
[in mg. Ἐν οἷς τόποις χαίρουσιν οἱ ε' ἀστέρες].

Ὁ μὲν Κρόνος ἐν Ὑδροχόῳ χαίρει, ὁ Ζεὺς δ' ἐν Τοξότῃ, ὁ δὲ Ἄρης ἐν Σκορπίῳ, Ἀφροδίτη <δ'> ἐν Ταύρῳ, Ἑρμῆς δ' ἐν Παρθένῳ.

<κη'. Περὶ διαφορᾶς τόπων>.

Δώδεκα δὲ τόπων ὄντων τῶν διατιθεμένων, κάλλιστος μὲν ὁ ὡροσκόπος, δεύτερος δὲ ὁ τοῦ μεσουρανήματος, τρίτος ὁ μετ' αὐτὸν τριγωνικῶς σχηματιζόμενος τῷ ὡροσκόπῳ, τέταρτος ὁ προηγούμενος τοῦ μεσουρανήματος ἑξαγωνικὴν πλευρὰν τοῦ ὡροσκόπου ἀπέχων, πέμπτος ὁ διαμετρῶν τῷ ὡροσκόπῳ, τουτέστι τὸ δῦνον, ἕκτος τὸ ὑπόγειον μεσουράνημα, ἕβδομος ὁ τῷ μεσουρανήματι ἑπόμενος, καὶ ὁ ὄγδοος ὁ τοῦ μεσουρανήματος προηγούμενος· οἱ δὲ λοιποὶ ἔξοχα πάντων εἰσὶ στυγερώτατοι. [A. O.]

1 Cf. Heph. Theb. I, capp. 7, 12 — titulus prior ad partem alteram, quam ex codd. Parisinis (Engelb.) etiam κη'. Περὶ διαφορᾶς τόπων (l. 5) signavimus et inscripsimus, pertinet; titulus alter (in mg.) ad priorem. — De duodecim locorum potestatibus cf. Firm. Mat. II, 18, et cod. Paris. 2506, f. 1 sqq. 4 δ' suppl. 7 β'ον, | γ'ον, 8 δ'ον, 9 ε'ον, 10 ϛ'ον, 11 ζ'ον, | η'ον cod. 7 μὲν ἑαυτὸν cod.; corr. Kroll, sc. nonus locus. 11-12 μεσ. hic dicitur ὑπόγειον [Kroll].

κθ'. Περὶ οἰκοδεσποτίας καὶ συνοικοδεσποτίας.

Οἰκοδεσπότης λέγεταί τις ἀστὴρ τῶν ε', ζῳδίου τινὸς <κύριος>, ὁ τὸ ζῴδιον ἔχων οἶκον· ὁ δὲ συμμετέχων αὐτῷ τῆς οἰκοδεσποτίας κατὰ τὸ ἔχειν ἐν τῷ αὐτῷ ζῳδίῳ ὕψωμα ἢ τρίγωνον λέγεται συνοικοδεσπότης.

1 Cf. Heph. Theb., ib. c. 13. 2 κύριος add. Kroll collato Hephaestione l. c. 3 αὐτῷ τῷ cod.

κοι<νω>νοῦσι γὰρ ἀλλήλοις καὶ κατὰ τὰ ὅρια, ἅπερ εἰσὶ δηλονότι τῶν ε´ ἀστέρων· ὁ μὲν γὰρ Ἥλιος καὶ ἡ Σελήνη ὅρια οὐκ ἔχουσιν. οἷον Κριοῦ μὲν οἰκοδεσπότης ὁ Ἄρης, οἶκος γὰρ Ἄρεως ὁ Κριός· συνοικοδεσπότης δὲ ὁ Ἥλιος, οὗ ὕψωμα καὶ τρίγωνον ὁ Κριός· καὶ πάλιν Ταύρου μὲν οἰκοδεσπότης ἡ Ἀφροδίτη, συνοικοδεσπότης δὲ ἡ Σελήνη, μὴ μόνον κατὰ τὸ ὕψωμα, ἀλλὰ καὶ κατὰ τὸ τρίγωνον· καὶ Διδύμων οἰκοδεσπότης μὲν Ἑρμῆς, συνοικοδεσπότης δὲ κατὰ μὲν τὸ ὕψωμα οὐδείς, κατὰ δὲ τὸ τρίγωνον Κρόνος, κατὰ δὲ τὰ ὅρια πάντες· Καρκίνου οἰκοδεσπότης μὲν ἡ Σελήνη, συνοκοιδεσπότης δὲ ὁ Ἄρης κατά τε τὰ ὅρια καὶ τὸ τρίγωνον· Λέοντος οἰκοδεσπότης μὲν ὁ Ἥλιος, συνοικοδεσπότης δὲ κατὰ τὸ τρίγωνον ὁ Ζεύς, κατὰ δὲ τὰ ὅρια πάντες, κατὰ δὲ τὸ ὕψωμα Ἑρμῆς· Παρθένου οἰκοδεσπότης μὲν ὁ Ἑρμῆς, συνοικοδεσπότης δὲ αὐτῷ κατὰ μὲν τὰ ὅρια πάντες, κατὰ δὲ τὸ τρίγωνον Ἀφροδίτη· Ζυγοῦ οἰκοδεσπότης μὲν ἡ Ἀφροδίτη, συνοικοδεσπότης δὲ κατὰ μόνον μὲν τρίγωνον Ἑρμῆς, κατὰ δὲ τρίγωνον καὶ ὕψωμα Κρόνος, κατὰ δὲ τὰ ὅρια πάντες· Σκορπίου οἰκοδεσπότης μὲν Ἄρης, συνοικοδεσπότης δὲ κατὰ μὲν τὸ τρίγωνον Σελήνη, κατὰ δὲ τὰ ὅρια πάντες, κατὰ δὲ τὸ ὕψωμα οὐδείς· Τοξότου οἰκοδεσπότης μὲν Ζεύς, συνοικοδεσπότης δὲ κατά τε τὸ ὕψωμα καὶ τὸ τρίγωνον οὐδείς, κατὰ δὲ τὰ ὅρια πάντες· Αἰγόκερω οἰκοδεσπότης μὲν Κρόνος, συνοικοδεσπότης δὲ κατὰ μὲν τὸ ὕψωμα Ἄρης, κατὰ δὲ τὰ ὅρια πάντες, κατὰ δὲ τὸ τρίγωνον οὐδείς· Ὑδροχόου οἰκοδεσπότης μὲν Κρόνος, συνοικοδεσπότης δὲ κατὰ μὲν τὸ τρίγωνον Ἑρμῆς, κατὰ δὲ τὰ ὅρια πάντες, κατὰ δὲ τὸ ὕψωμα οὐδείς. Τούτων οὕτως ἐχόντων ἐπεὶ τέσσαρές εἰσιν οἱ τῆς οἰκοδεσποτείας λόγοι· οἶκος, ὕψωμα, τρίγωνον καὶ ὅρια, ὁ ἔχων πλείονας τῶν τοιούτων λόγων ἀστὴρ ἐν ζῳδίῳ τινί, οὗτος λέγεται κύριος εἶναι τοῦ τοιούτου ζῳδίου. ἐὰν δὲ δύο τινὲς τῶν ἀστέρων ἑκάτερος ἐν ζῳδίῳ τινὶ ἀνὰ δύο λόγους ἔχῃ, ὁ οἶκον ἔχων τὸ ζῴδιον, ἐκεῖνος λέγεται κύριος· οἷον ἐν Κριῷ ἐστι μὲν οἶκος Ἄρεως, ἔχει δὲ καὶ ὅρια ἐν αὐτῷ, ὡσαύτως δὲ καὶ ὁ Ἥλιος ἔχει μὲν ὕψωμα ἐν αὐτῷ καὶ τρίγωνον, ἀλλ' ὁ Ἄρης κυριώτερος διὰ τὸν οἶκόν ἐστιν· ἐν δὲ τῷ Ταύρῳ ἔχει οἶκον ὁ τῆς Ἀφροδίτης, ὅριά τε καὶ τρίγωνον, ἡ δὲ Σελήνη ὕψωμα καὶ τρίγωνον, κυριώτερος οὖν ὁ τῆς Ἀφροδίτης διὰ τὸ πλεονάζειν· ἐν Διδύμοις ὁ Ἑρμῆς οἶκον ὅριά τε καὶ τρίγωνον, ὁ δὲ Κρόνος μόνον τρίγωνον, κυριώτερος οὖν ὁ τοῦ <Ἑρμοῦ> διὰ τὴν τοιαύτην αἰτίαν· ἐν Καρκίνῳ ἔχει οἶκον ἡ Σελήνη καὶ τρίγωνον, ὁ δὲ Ἄρης τρίγωνον καὶ ὅρια, κυριωτέρα οὖν ἡ Σελήνη διὰ τὸν οἶκον· ἐν Λέοντι ἔχει ὁ Ἥλιος οἶκον καὶ τρίγωνον, ὁ δὲ Ζεὺς ὅριά τε καὶ τρίγωνον, ἀλλ' ὁ Ἥλιος κυριώτερος· ἐν Παρθένῳ ἔχει ὁ Ἑρμῆς οἶκον, ὕψωμά τε καὶ τρίγωνον, ὁ δὲ τῆς Ἀφροδίτης ὅριά τε καὶ τρίγωνον, ἀλλ' ὁ Ἑρμῆς κυριώτερος· ἐν Ζυγῷ ἔχει οἶκον ὁ τῆς Ἀφρο-

1 κοινοῦσι ἀλλήλους cod., corr. εἴπερ cod., corr. Kroll δηλ´ cod. 24 ἐπὶ cod., corr. 26 οὗτως cod., cor. Kroll. 27 τινὸς cod., corr. Kroll. 28 ἔχει cod. 35 Ἑρμοῦ supplevi.

δίτης καὶ ὅρια, ὁ δὲ Κρόνος ὕψωμά τε καὶ ὅρια, ἀλλ' ὁ τῆς Ἀφροδίτης κυριώτερος διὰ τὸν οἶκον· ἐν Σκορπίῳ ἔχει οἶκον ὁ Ἄρης, τρίγωνόν τε καὶ ὅρια, ἡ δὲ Ἀφροδίτη τρίγωνόν τε καὶ ὅρια, ἡ δὲ Σελήνη τρίγωνον μόνον, κυριώτερος οὖν ὁ Ἄρης καὶ διὰ τὸν οἶκον, καὶ διὰ τὸ πλεονάζειν τοῖς λόγοις· ἐν Τοξότῃ ἔχει ὁ Ζεὺς οἶκον, τρίγωνόν τε καὶ ὅρια, ὁ δὲ Ἥλιος μόνον τρίγωνον καὶ οἱ λοιποὶ μόνα ὅρια, ὥστε ὁ Ζεὺς κυριώτερος· ἐν Αἰγόκερῳ ἔχει ὁ Κρόνος οἶκον καὶ ὅρια, ἡ Σελήνη τρίγωνον, ἡ Ἀφροδίτη τρίγωνον καὶ ὅρια, ὁ οὖν Κρόνος κυριώτερος· ἐν Ὑδροχόῳ ἔχει ὁ Κρόνος οἶκον, τρίγωνόν τε καὶ ὅρια, ὁ δὲ Ἑρμῆς τρίγωνόν τε καὶ ὅρια, καὶ δῆλον ὡς ὁ Κρόνος κυριώτερος· ἐν δὲ Ἰχθύσι ἔχει οἶκον ὁ Ζεὺς καὶ ὅρια, ὁ Ἄρης καὶ ἡ Ἀφροδίτη τρίγωνόν τε καὶ ὅρια καὶ ἡ Σελήνη τρίγωνον, ὁ Ζεὺς οὖν κυριώτερος. διὰ μέντοι τὸ εὐδιάκριτον ἐκκείσθωσαν οὕτως· Λέοντος μόνου ὁ Ἥλιος, Καρκίνου μόνου Σελήνη, Διδύμων καὶ Παρθένου Ἑρμῆς, Ζυγοῦ καὶ Ταύρου Ἀφροδίτη, Κριοῦ καὶ Σκορπίου Ἄρης, <Τοξότου> καὶ Ἰχθύων Ζεύς, Ὑδροχόου καὶ Αἰγόκερω <Κρόνος>. [A. O.]

2 Aquarii signum pro Scorpii facile legitur, ut infra (51) Virginis pro Capricorni. 15 Τοξότου supplevi. 16 Κρόνος supplevi.

F. 43v. λ'. Περὶ συναφῆς ἤτοι κολλήσεως καὶ ἀπορροίας.

Συναφὴ ἡ καὶ κόλλησις λεγομένη, ἐστίν, ὅταν δύο ἀστέρες ἢ καὶ πλείους ἐν ἑνὶ ζῳδίῳ <ὦσι καὶ> συνάπτηται ὁ προηγούμενος τῷ ἑπομένῳ σωματικῶς ἢ καὶ καθ' οἷον δή ποτ' οὖν σχῆμα ἢ καὶ μέλλων συνάψειν τὸ πλέον ἀπὸ μοιρῶν γ', μόνης τῆς Σελήνης ἀπὸ ιγ' μοιρῶν ἀρχομένης ποιεῖν τὴν συναφήν. ἀπόρροια δὲ ὅταν ἤδη συνάψας σωματικῶς ἢ καὶ κατὰ σχῆμα ὁ ἀστὴρ ἑτέρῳ τινὶ μετὰ τρεῖς μοίρας ἀποστῇ πάλιν αὐτοῦ πρὸς τὰ ἑπόμενα, τῆς Σελήνης μόνης καὶ ἐνταῦθα μετὰ ιγ' μοίρας τὴν ἀπόρροιαν ποιουμένης. [A. O.]

1 Cf. Heph. Theb., ib. c. 14. 2 ὦσι καὶ suppl. Kroll.

λα'. Περὶ ἐμπερισχέσεως· τριχῶς λεγόμενον.

Ἐμπερίσχεσις λέγεται ὅταν ἀστέρος ὄντος ἐν ζῳδίω τινὶ τὰ ἑκατέρωθεν αὐτῶν β' ζῴδια σχηματίζωνται τριγωνικῶς τε καὶ διαμετρικῶς ὑπό τινος τῶν κακοποιῶν· οἷον ἔστω ἡ Σελήνη ἐν Παρθένῳ καὶ ὁ Ἄρης ἐν Κριῷ, σχηματίζει οὖν ἐνταῦθα ὁ Ἄρης τὰ ἑκατέρωθεν τῆς Παρθένου β' ζῴδια τὸν Λέοντα καὶ τὸν Ζυγόν, τὸν μὲν τριγωνικῶς, τὸν δὲ διαμετρικῶς. ὅταν οὖν ἐπί τινος γενέσεως ἐμπερισχεθῇ ἡ Σελήνη ἢ ὁ ὡροσκόπος ὑπό τινος τῶν κακοποιῶν, φαῦλον τὸ σχῆμα καὶ ὀλιγοχρονίους ποιεῖ τοὺς γεννωμένους. Ἄλλοι δὲ οὕτως ἀποδεδώκασι τὴν ἐμπερίσχε-

1 Cf. Heph. Theb., ib. c. 15. 3 σχηματίζονται cod. 9 γεννομένους cod.

σιν λέγοντες· ἐμπερίσχεσίς ἐστιν, ὅταν ἀστέρες κακοποιοὶ ἕνα μέσον περιλάβωσι, μηδενὸς ἄλλου μεταξὺ παρεμβάλλοντος τὴν ἀκτῖνα, καὶ αὕτη δὲ ἡ ἐμπερίσχεσις χαλεπωτάτη ἐστίν.—Καὶ ἄλλως· ἐμπερίσχεσίς ἐστιν, ὅταν μεταξὺ τῶν πρὸ τῆς συναφῆς μοιρῶν ζ′ ἢ τῶν μετὰ συναφήν, ἄλλος τις ἀστὴρ βάλῃ ἀκτῖνα, ἐκ διαφόρων, ὡς εἴρηται, σχημάτων· καί ἐστι καὶ ἡ τοιαύτη ἐμπερίσχεσις χαλεπὴ ὑπὸ φθοροποιῶν ἐγγινομένη, ὑπὸ δὲ ἀγαθοποιῶν εὐεργετική. [A. O.]

6 ἤτοι αὕτη cod., corr. Kroll.

F. 45. λε′. Περὶ δωδεκατημορίων τῶν ζῳδίων.

Διεῖλον δὲ καὶ ἕκαστον τῶν δωδεκατημορίων εἰς δωδεκατημόρια ιβ′, ἑκάστῳ δύο μοίρας διδόντες· ἀπὸ γὰρ τῆς πρώτης μοίρας τοῦ ζῳδίου ἄχρι τῆς μοίρας ἧς ἐπέχει ὁ ἀστὴρ ὅσαι μοῖραί εἰσι, τὰς τοιαύτας λαμβάνοντες καὶ ταύτας μερίζοντες ἀνὰ δύο, καὶ ἑκάστην μερίδα διδόντες τοῖς <ἐφεξῆς>, ἀπ᾽ αὐτοῦ τοῦ κατὰ τὴν ἐποχὴν ζῳδίου ἀρχόμενοι, ὅπου ἂν ὁ τῶν μερίδων ἐκπέσῃ ἀριθμός, ἐκεῖνο τὸ ζῴδιόν φασιν εἶναι δωδεκατημόριον τοῦ κατὰ τὴν ἐποχὴν ἀστέρος. οἷον ἔστω ἡ Σελήνη ἐν Καρκίνῳ μοίρᾳ κ′, αἱ κ′ μοῖραι μεριζόμ<εν>αι παρὰ τὰς δύο ποιοῦσι μερίδας η′, δὶς γὰρ καὶ ἡμισάκις τὰ η′ γίνονται κ′· ταῦτα τὰ η′ προσεκβάλλοντες ἀπ᾽ αὐτοῦ τοῦ Καρκίνου καταντῶμεν εἰς τὸν Ὑδροχόον καί φαμεν κατὰ τὴν εἰρημένην ἐποχὴν τῆς Σελήνης τὸ δωδεκατημόριον αὐτῆς κατὰ τὸν Ὑδροχόον εἶναι. [A. O.]

1 Cf. Heph. Theb., ib. c. 18. 6 ἐφεξῆς add. Kroll, coll. Ptolem. 13, 30 (ed. 1535) 9 μερίζομαι cod. 10-11 προσεκβαλλοντει<*sic*> cod.

F. 212. Ἐκ τῶν τοῦ Ἡφαιστίωνος ἀστρονομικῶν· προοίμιον.

Τῆς οὐρανίας διαθέσεως, τουτέστι τοῦ ζῳδιακοῦ κύκλου, ἐν ᾧ οἱ πλανώμενοι τὰς ἑαυτῶν ποιοῦνται κινήσεις, κατὰ τὸ ἐγχαραχθησόμενον ἐνταυθοῖ σχῆμα διακειμένης, πειράσομαι, καθόσον οἷός τέ εἰμι, καὶ τὰς περὶ αὐτὴν ὀνομασίας τῶν ιβ′ τόπων διὰ βραχέος ἐκθεῖναι, τούς τε πρὸς ἀλλήλους τῶν ἀστέρων σχηματισμοὺς καὶ ποῖα αὐτῶν ἀρρενικὰ καὶ ποῖα θηλυκά, ποῖά τε πυρώδη καὶ ποῖα ὑδατώδη καὶ ποῖα γεώδη καὶ ποῖα ἀερώδη, ποῖα δὲ ἰσημερινὰ καὶ τροπικὰ καὶ τὰ λοιπὰ πάντα ὅσα συντελεῖ πρὸς διάγνωσιν τοῦ ὅλου διαθέματος, ὡς ἂν εὐδιάγνωστα καὶ σαφῆ γένηται τὰ τοῖς παλαιοῖς ἀνδράσι περὶ τῶν ἀποτελουμένων ἐν κόσμῳ εἰρημένα, καὶ πρῶτόν γε περὶ διαθέματος, ὃ οἱ πολλοὶ θεμάτιον ὀνομάζουσι, λέξομεν. [A. O.]

EXCERPTA EX CODICE 11 (LAUR. 28, 33)

vel potius ex codice Angelicano 29 [1].

Palchi capitula selecta.

De Palcho astrologo Aegyptio qui saec. V exeunte floruit (cf. c. νζ-νθ' λα' πζ' πη') pauca verba in *Rev. de l'Instr. publ. en Belg.* 1897, p. 1 ss. facta sunt et supra (p. 84) inter scriptores medio aevo prohibitos ὁ ἑρμηνευτὴς Πάλχος commemoratur. Plura docebunt particulae eius operis quas hic proponimus. Fragmenta duo (λα' πη' cf. ρλε') quae iam ante vulgata erant, hic repetimus, ut omnia ex hoc libro apotelesmatico usque adhuc edita uno in loco inveniantur.

F. 100v (=210v). ιζ'. Περὶ ἀπωλείας πράγματος κατὰ Ἐρασίστρατον·[2] εὑρεῖν τὸν κλέπτοντα καὶ τὸ ἀπολλύμενον καὶ ποῦ κεῖται.

Ἀπὸ τῶν κέντρων σκόπει οὕτως· ἔστω ὁ ὡροσκόπος τὸ ἀπολλύμενον, τὸ μεσουράνημα ὁ ἀπολέσας, τὸ δῦνον ὁ κλέπτης, τὸ ὑπόγειον ποῦ κεῖται τὸ ἀπολλύμενον· ὁμοίως καὶ ἡ Σελήνη δηλοῖ ποῦ κεῖται τὸ ἀπολλύμενον. Σελήνη ὡροσκοποῦσα, δηλοῖ ὅτι ἐν μέσῳ καὶ φανερῷ τόπῳ κεῖται τὸ ἀπολλύμενον· ἐὰν δὲ μεσουρανῇ, ἐν μετεώρῳ τόπῳ κεῖται· ἐὰν δέ ἐστιν ἐν τῷ ὑπογείῳ, ἐν κοίλῳ τόπῳ ἢ φρέατι κεῖται· Σελήνη ἐν τῷ δύνοντι, ἐν τόπῳ ἰδιάζοντι καὶ ἀνακεχωρημένῳ κεῖται. Κρόνου ὡροσκοποῦντος, τὸ ἀπολλύμενον ἔσται παλαιὸν ἢ ἀτελὲς ἢ ῥυπαρόν. Ζήτει δὲ καὶ τὴν φύσιν τοῦ ἀστέρος· Ἄρης ὡροσκοπῶν ἢ ἐπίκεντρος μετὰ Σελήνης, βίᾳ τινὶ γέγονε <τὸ> κλέμμα, κλειδῶν κλασθεισῶν ἢ κοιτῶν ἢ σκευαρίων ἢ σφραγίδων διαρραγεισῶν. ὁ Ζεὺς μεσουρανῶν καὶ μετὰ Σελήνης, ἐξ ἱεροῦ τόπου τὸ κλέμμα γέγονεν. Ἀφροδίτη μετὰ Σελήνης ἐπίκεντρος, γυναικεῖα εἴδη εἶναι δηλοῖ τὰ ἀπολλύμενα· ἡ Ἀφροδίτη μεσουρανοῦσα, ἐξ ἱεροῦ ἱερὰ δηλοῖ εἶναι τὰ ἀπολλύμενα· Ἑρμῆς ἐπίκεντρος ἢ μετὰ Σελήνης, ἀργύρια ἢ βίβλο<υ>ς ἢ λογοθέσια

12 τὸ suppl. Kroll. 13 σφαγίδων cod. 17 βίβλος cod.

---

[1] Cf. *Studi ital.* etc., IV, p. 60 sqq. — Cum demonstratum sit ex codice Angelicano Palchi collectionem astrologicam Laurentiano codice servatam, inabsolute descriptam esse (Cumont, *L'astrologue Palchos*, p. 2), ex Palchi libro excerpta potius ad fidem archetypi quam ad apographi edere constituimus.

[2] De Erasistrato cf. supra Masalae excerptum p. 82, l. 23.

εἶναι λέγε τὰ ἀπολλύμενα. Ἥλιος καὶ Σελήνη ὡροσκοποῦντες ἢ μεσουρανοῦντες, ἔμπροσθεν ὀφθαλμῶν, ἢ ἐν ἀνοικτῷ τόπῳ ἢ φωτεινῷ ἢ ἱερῷ ἢ δημοσίῳ κεῖσθαι λέγε. Κρόνος μετὰ Ἡλίου ἐπίκεντρος, ἀπελευθέρους λέγει τοὺς κλέπτας· εἰ δὲ καὶ Ἑρμῆς συμπαρῇ τούτοις, εἷς δοῦλος καὶ εἷς ἐλεύθερος· Ζεὺς μετὰ Ἡλίου ἢ μετὰ Σελήνης οἰκοδεσπότης, *** ἔσται ὁ κλέπτων· ὁ Ἄρης μετὰ Σελήνης ἢ μετὰ Ἡλίου, ἀπελευθέρους ἢ δούλους λέγει τοὺς κλέπτας καὶ ὀξυθύμους καὶ βιαίους· Ἀφροδίτη μετὰ Σελήνης ἐν ἰδίοις οἴκοις ἢ Διός, ἐλευθέρους λέγει· Ἑρμῆς μετὰ Ἡλίου ἢ Σελήνης, παῖς ἢ ἔφηβος· οἱ ε΄ ἀστέρες ὑπὸ δύσιν ὄντες τοῦ Ἡλίου, πρεσβυτέρους λέγουσι τοὺς κλέπτας, καὶ ἡ Σελήνη γραΐδας· ἀνατολικοὶ δὲ ἑῷοι νεωτέρους, ἑσπέριοι μέσους. Σκέπτου δὲ καὶ ἀπὸ τῶν ἀστέρων καὶ τῶν φάσεων αὐτῶν οὕτως· ὁ Ἑρμῆς σημαίνει παῖδας, Ἄρης νεανίσκους, Ζεὺς μεσήλικα<ς>, Κρόνος πρεσβυτέρους. Σελήνη μετὰ Ἡλίου ἐν τῷ ὑπογείῳ, ἀνεύρετα σημαίνει τὰ ἀπολλύμενα· Σελήνη καὶ Ἥλιος ἐν τῷ μεσουρανήματι, εὑρετὰ ποιοῦσιν δι᾽ ἀφωτίστου φάσεως. ὁ δὲ τὸν κλέπτην σημαίνων, ἐὰν ἐν ἰδίῳ ὑψώματι τύχῃ, σημαίνει μακρόν, εἰ δὲ ἐν ταπεινώματι, μικρὸν ἢ κοντόν, κατὰ δὲ τὰς ἀποστάσεις τῶν ὑψωμάτων καὶ ταπεινωμάτων, τὰς ἡλικίας. εἰ δὲ μετὰ ζ΄ τῆς κλοπῆς ἡμέρας ὑπὸ κρύψιν τοῦ Ἡλίου γένηται ὁ τὸν κλέπτην σημαίνων, μέγα [καί] πείσεται ὁ κλέπτης· Ἄρει δὲ μαρτυροῦντος τοῦ κλήρου τῆς τύχης, τραύμασι ἢ βασάνοις ἢ κινδύνοις ἐμπεσεῖται. τὸν κλῆρον τῆς τύχης ἐὰν μὴ ἐπιβλέπῃ κακοποιός, λέγε κλέμμα μὴ γεγονέναι· καὶ ὁ Ἥλιος εἰ ἴδῃ τὸν κλῆρον τῆς τύχης, *** λέγε ἀπολέσθαι. ἐὰν Κρόνος ᾖ <κατὰ> τὸ ζῴδιον τοῦ ὑπογείου, ἐν σκοτεινῷ τόπῳ ἢ ἐν βαθεῖ· ἐὰν δὲ Ἄρης, ἔγγιστα χαλκείου ἢ τέκτονος ἢ ψηφοποιοῦ· ἐὰν δὲ Ἑρμῆς, ἔγγιστα διδασκάλου ἢ νομικείου ἢ τραπεζίτου ἢ λογοθεσίου· ἐὰν μήτε ὁ Ἥλιος μήτε ἡ Σελήνη βλέπωσι τὸν ὡροσκόπον, δυσεύρετον τὸ κλαπέν· ἡ Σελήνη ἐν τῷ ὑπογείῳ, δυσχερὴς ἡ εὕρεσις. ὅταν θέλῃ<ς> γνῶναι ποῦ τὸ κλαπὲν κεῖται ἢ ἀπενήνεκται, ἴδε ἐν τῷ ἀντιμεσουρανοῦντι ποῖον ζῴδιον ὑπάρχῃ, καὶ τίνος οἶκος ὑπάρχῃ· ὅσα γάρ εἰσιν ἔνυδρα ζῴδια, δηλοῦσιν εἰς φρέαρ ἢ κρήνην ἢ δεξαμενὴν ἢ τούτοις παραπλήσια· τὰ δέ τετράποδα ζῷα, ὑποστάσεις ὕλας ὄρη, μάλιστα ὅπου τετράποδα αὐλίζεται ἢ νέμεται· τὰ δὲ ἀνθρωποειδῆ, εἰς χεῖράς τινος ἀπεληλυθέναι ἢ δεδόσθαι· ἐὰν Ζεὺς καὶ Ἀφροδίτη ὦσιν ἐκεῖ, ἐν τόπῳ καθαρίῳ εὐπροσώπῳ κείμενον ἔσται· ἐὰν Κρόνος, ἐν σκοτεινῷ βαθεῖ ἢ ὑψηλῷ ἀκαθάρτῳ· ἐὰν δὲ Ἄρης, εἰς τεκτονικὴν ἢ χαλκευτικὴν ἢ εἰς μαγειρεῖον ἐγγὺς πυρός.

1 λέγει? at cf. l. 3. 2 ἀνοικτῶ (οι dubium) cod. φοτεινῶ cod. 3 δημοσία cod. 4 συμμπαροὺς τούτους cod. 6 lac. sign. Kroll. 13 μεσήλικα cod. 18-19 εἰ δὲ μέτα ζ τῆς κλεπ΄ 66 cod., εἰ δὲ μετὰ ζ΄ τῆς κλοπῆς ἡμέρας dubitanter scripsi. 20 καὶ seclusi, τι coni. Kroll. πείσεται scripsi, πήσεται cod. κλήρου scripsi, κλεπ΄ cod. 22 με γέγονεν cod., μὴ γεγονέναι dub. scripsi. 23 οὐ ἡ ante λέγε cod., lac. signavi, οὗ οἱ λ. Kroll. κατὰ suppl. Kroll. 27 βλέπουσι cod. δυσεύρεται cod., -τον scripsi. 28 θέλη cod., corr. Kroll. 31 δεξαμένην cod. 33 δεῖοσθαι <*sic*> cod., δεδόσθαι corr. Kroll. An δεῖσθαι? 34 ἐστὶν cod. ὦσιν scripsi at cf. 8. 35 βαρεῖ cod.

Καὶ οἷος ἂν ἀστήρ, τοιοῦτον καὶ τὸν ὑποδεξάμενον ἐροῦμεν· ἐὰν ἀστὴρ ἐν τῷ ἰδίῳ οἴκῳ, ἐν τῷ ὑπογείῳ μεσουρανήματι ἐπίδῃ, ἔκ τινος τόπου πρὸς οἰκειακὸν ἔσται ἀνηνεγμένον· ἐὰν ἀλλότριον οἰκητήριον εἰς τὸ διάμετρον, πρὸς ἐξωτικὸν γείτονα ἀπενηνέχθαι λέγε. ἐὰν δὲ ἀστὴρ ἐν τῷ ἰδίῳ οἴκῳ ὢν καὶ ἕτερος μετ' αὐτοῦ γένηται, ἔριν καὶ φιλονεικίαν περὶ αὐτοὺς ἔσεσθαι λέγε, τοῦ ἀπολωλότος πρὸς τὸν ἔχοντα καὶ τὸν κλέψαντα· ἐὰν Ἥλιος ἢ Σελήνη τούτους τοὺς ἀστέρας ἐπίδωσιν, ἐπὶ<τὸ> μηνύεσθαι τὸ πρᾶγμα ἐλεύσεται. ἐὰν ἐν τῷ μεσουρανοῦντι ζῳδίῳ οἱ ἀστέρες γένωνται ἐν τῇ ἰδίᾳ οἰκίᾳ, τὸν κύριον τοῦ ἀπολωλότος ἐρεῖς ἀποβεβληκέναι, ἐν ἀλλοτρίᾳ, παρακαταθεῖναι τὸν ἀλλότριον. Σελήνην οὐ μόνον πρὸς τὰς κλοπὰς παρατηρεῖν δεῖ, ἀλλὰ καὶ πρὸς πᾶν πρᾶγμα· προστιθεῖσα γὰρ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς αὐξομένη, ἢ καινὸν ἢ πολύτιμον τὸ ἀπολλύμενον ἐρεῖς· ἐὰν δὲ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς μειουμένη, οὐ πολυτελὲς καὶ κεχρειωμένον, οὐ καινόν. ὁ Ἥλιος καὶ ἡ Σελήνη τὸν ὡροσκόπον ὁρῶντες, οἴκοθεν τὸν κλέπτην σημαίνουσιν· εἰ δὲ τῶν β' φώτων τὸ ἓν τὸν ὡροσκόπον βλέπῃ, τὸ δὲ ἕτερον οὐ βλέπῃ, ἔξωθεν μέν· εἴσοδος δέ· ἐὰν δὲ ὁ Ἥλιος καὶ ἡ Σελήνη μὴ θεωρῶσι τὸν ὡροσκόπον, ἀλλότριος ἔσται ὁ κλέπτης. οἱ δὲ ἀστέρες τὰς μορφὰς καὶ τὰς ἰδέας τῶν κλεπτῶν σημαίνουσιν· πρῶτος <?> ὁ ἐν τῷ δυτικῷ· ἐὰν δὲ μηδεὶς ἐν αὐτῷ παρῇ, ὁ ἐν τῷ θ'· εἰ δὲ μή, ὁ ἐν τῷ ιβ'. ζήτει πρός τινα ποιεῖται ἡ Σελήνη τὴν συναφὴν καὶ πρὸς αὐτὸν καὶ τὴν φάσιν αὐτῆς εὑρήσεις αὐτὸν ὅμοιον· εἰ δὲ μηδὲ τοῦτο οὕτω συμφωνήσῃ, βλέπε τίς τῶν ἀστέρων πρὸ ζ' ἡμερῶν τῆς ἀπωλείας ἀπὸ ζῳδίου εἰς ἕτερον ζῴδιον μετῆλθεν καὶ πρὸς τὴν φύσιν καὶ τὴν φάσιν καὶ τὴν ἰδέαν αὐτοῦ τὸν κλέπτην ἀποκρίνου. τῷ δὲ τὸν κλέπτην σημαίνοντι ἀστέρι ἢ τόπῳ εἰ μαρτυρῇ ἀγαθοποιός, ἐλεύθερον σημαίνει, κακοποιὸς δέ, δοῦλον ἢ δουλικὴν ὑπόκρισιν ποιοῦντα. Ἀφροδίτη λαχοῦσα τὸν τοῦ κλέψαντος τόπον, θήλειαν σημαίνει τὴν κλέψασαν. συγκρῖναι δὲ δεῖ καὶ τὰς φάσεις καὶ τὰς ἡλικίας· ἡ γὰρ ἑῴα ἀνατολὴ σημαίνει παῖδας, ἡ δὲ ὕπαυγος σημαίνει <?> τὸ γῆρας· στηριγμὸς πρῶτος καὶ ἀκρόνυχος, μεσήλικας, στηριγμὸς δεύτερος καὶ κρύψις, τὰ μετὰ τὴν μέσην ἡλικίαν. Συναρμόζων οὖν ἅπαντα κατὰ τὰς φάσεις· ἀκριβῶς εὑρήσεις τὰς ἕξεις καὶ τὰς ἡλικίας· οἷον ἐὰν Κρόνος τύχῃ εἰς τὸν τοῦ κλέπτου τόπον ἑῷος ἀνατολικός, οὔτε παῖδας οὔτε γέροντας, ἀλλὰ μεσήλικας· Ἑρμῆς ἑσπέριος ἀνατολικός νέους, παῖδας· Ἀφροδίτη ἑσπερία ἀνατολική, κόρας· Ἑρμῆς ὑπὸ δύσιν <τοῦ Ἡλίου>, μέσους <ἄνδρας>· Ἀφροδίτη ὑπὸ δύσιν τοῦ Ἡλίου, μέσας γυναῖκας· οἱ ἀνατολικοὶ δυτικοί, νέους σημαίνουσιν· ὑπὸ δὲ κρύψιν

2 ἐπίδους cod. 3 ἀλλοτρ. οἰκητήριον transposita esse not. Kroll. 7-8 ἐπιμηνύσθαι cod. 10 ἢ cod., τὸ scripsi. 14 κεχριαμον' cod., κεχρειωμένον Kroll. 15 οἴκωθεν cod. 16-17 verba corrupta. 19 ᾱος cod., πρῶτος scripsi. 26 μαρτυρεῖ cod. 27 ἀπόκρισιν cod., corr. Kroll. 30 Ωσ cod., σημαίνει dub. scripsi. 35 Ἑρμῆς ἑσπέριος ἀνατολικὸς κόρας cod., Ἀφροδίτη ἑσπερία ἀνατολικὴ κόρας restitui. 36 ante μέσους το^ Ἡλίου, postea ἄνδρας supplevi.

Ἡλίου, πρεσβύτας ἢ πρεσβύτιδας λέγε τοὺς κλέπτας ἢ κλεπτούσας. αἱ μὲν οὖν ἀπώλειαι γίνονται ὡς ἐπὶ τὸ πλεῖον τῆς Σελήνης ἢ τοῦ Ἑρμοῦ κακωθέντων. ἐπὰν οὖν οἱ κακοποιοὶ ἀνα<τολικοὶ> τύχωσι μαρτυροῦντες τῇ Σελήνῃ, οἱ δὲ ἀγαθοποιοὶ ὑπὸ δύσιν, οὐχ εὕρεσις ἔσται τοῦ ἀπολλυμένου· ὥσπερ ἐὰν μὲν οἱ ἀγαθοποιοὶ καὶ ὁ Ἑρμῆς ἀνατολικοὶ τύχωσι μαρτυροῦντες τῇ Σελήνῃ, οἱ δὲ κακοποιοὶ ὑπὸ δύσιν, εὕρεσις ἔσται τοῦ ἀπολλυμένου· χαίρουσι καὶ μᾶλλον ἀμφότερα τὰ φῶτα πρὸς εὕρεσιν ὑπέργεια τυχόντα, ἤπερ ἐν τῷ ὑπογείῳ ἡμισφαιρίῳ τῷ κάτω. Κρόνου μαρτυροῦντος τῷ ὡροσκόπῳ καὶ τῇ Σελήνῃ, δόλῳ τινὶ καὶ κρυφῇ τὴν κλοπὴν γεγονέναι λέγε· ὁ δὲ Ζεύς, δόξαντά τινα πίστιν καὶ ἐλευθερίαν ἔχοντα τοῦτο κεκρυφέναι λέγε, καὶ διὰ τῆς ὑπολήψεως τῆς ἐλευθερίας τὴν κλοπὴν ἐργάσασθαι· ὁ δὲ Ἄρης, δι' ὀρυγῆς τοίχου καὶ ἀντίκλειδος ἢ ἀνασπάσεως θύρας ἢ κλάσεως κλειδὸς ἢ βίας τινός· ἡ δὲ Ἀφροδίτη, πόρνης ἕνεκεν ἢ χάριν φιλίας γινομένης ἀπὸ γυναικός· ὁ δὲ Ἑρμῆς, πάντως ἀπὸ κακουργίας ἢ ἀπὸ κακοτροπίας ἡ κλοπὴ γέγονε. Τὸν δὲ τόπον ὅθεν ἠρμένον ἐστὶν ἵνα εἴπῃς, ποιήσεις οὕτως· ἔστω σοι ὁ ὡροσκόπος εἴσοδος, σημαίνει δὲ ἡ Σελήνη τὸν τόπον ὅθεν ἀπόλωλεν. ἐὰν οὖν ἡ Σελήνη ᾖ ἐν τῷ ὡροσκόπῳ, τὸ ἀπολωλὸς ἔκειτο πρὸ ὀφθαλμῶν· ἔτι τε μᾶλλον ἐὰν ὁ Ἥλιος τὴν Σελήνην ἐπίδῃ, ὅθεν ὁμόσε γένηται τὸ μεσουράνημα, κρεμαστὸν τὸν τόπον δηλοῖ· ἐὰν Ἄρης τὴν Σελήνην ἐπίδῃ, ὃ ἂν ἀπόληται, ἐκ τόπου κεκλεισμένου ἀπώλετο· ἐὰν ἡ Σελήνη ἐπὶ δύσιν φέρηται, ἐκ τόπου ἀνακεχωρηκότος ἀπώλετο· ἐὰν ἐν τῷ ὑπογείῳ κέντρῳ, ἐκ κατωρυγμένου καὶ ὑπογείου πάντως τόπου ταπεινοῦ· ἐὰν καὶ δύνουσα τὸν τόπον τοῦ κλέπτου ἐπίδῃ, τὸν κλέπτην μεμηνύσθαι λέγε. [A. O.]

1 κλεπτου <?> cod., κλεπτούσας scripsi. 3 ἀνακακοποιοὶ cod. 8 ὑπέργαια cod. 12 ὀρῦ cod. 13 ἀναπασρ' cod., corr. 21 ἀπόληται corr. ex ἀπώλετο. 25 μεμηνάσθαι cod.

F. 102 (= 213v). ιη'. Τιμαίου Πραξίδου περὶ δραπετῶν καὶ κλεπτῶν[1].

Ὁ τοῦ Διὸς ἀστὴρ ἐάν τε μετὰ Σελήνης, ἐάν τε ἐν τῷ ὡροσκόπῳ, ἐάν τε ἐν τῷ μεσουρανήματι γένηται, ὁ δεδραπετευκὼς ἀργυρούμενα ἢ ἐνηργυρωμένα σκεύη βεβάστακε, καὶ ὅπου θέλῃ πορεύσεται· ἐὰν καὶ μετὰ Ἡλίου ὑπάρχων, πολλῷ πλείονα βεβάστακε· ἐὰν δὲ Ἀφροδίτη καὶ Ἥλιος τοῖς αὐτοῖς τόποις γένωνται, εἰκονίσματα ἁγίων καὶ χρυσὸν καὶ ἄργυρον καὶ χαλκώματα βεβάστακεν· ἐὰν δὲ Ζεὺς καὶ Ἑρμῆς ἐπιθεωρήσωσι,

4 ἀργυρώμενα cod. 6 Ἡλίου scripsi, ♃ cod. 7 γένηται cod. 8 χαλκωσται cod., χαλκώματα scripsi.

[1] De hoc Timaeo cf. supra p. 79, v. 19; 80, v. 15 et Kroll, *Philologus*, 1898, p. 133, qui Πραξιδίκου coniecit.

ἱκανῶς ἐμπεφορτισμένος ἀπελεύσεται καὶ συντόμως συλληφθήσεται· ἐπιθεωρούντων δὲ Ἡλίου καὶ Ἑρμοῦ, εἰς γ′ ἢ ια′ ἡμέρας κρατηθήσεται, μηνυθεὶς ὑπὸ τῶν ἰδόντων· Κρόνου ἐπὶ τοῦ μεσουρανήματος ἢ τοῦ ὑπογείου κέντρου ἢ ὑπεργείου, ἐπ᾿ αὐτοφώρῳ παραδοθήσεται ὁ κλέπτης· οὗτοι μέντοι καὶ σώματι κεκακωμένῳ ἐν ὑποταγῇ πάντοτε γεγονότες ἔσονται καὶ ὑπὸ γυναικῶν μηνυθήσονται. ἐὰν δὲ Ἀφροδίτη κατ᾿ ἀκτινοβολίαν ἴδῃ τὴν Σελήνην ἢ διὰ τοῦ μεσουρανήματος, ἐλευθέρα γυνὴ συγγνοῦσα τὴν φυγὴν μηνύσει· ἐὰν δὲ Ἄρης τοῖς αὐτοῖς τόποις τύχῃ, ταὐτὰ ποιήσει ἃ καὶ ὁ Κρόνος, ἐκ περισσοῦ οὐλὰς καὶ πληγὰς καὶ τραύματα λήψεται εἰς τὴν ὄψιν καὶ εἰς τὰ σκέλη. τετράποδα δὲ ζῴδια ἐὰν ὡροσκοπήσῃ ἢ μεσουρανήσῃ, ἢ τὴν Σελήνην σχῇ δίχα τινὸς τῶν ε′ ἀστέρων, ἐν ὁδῷ εὑρεθήσεται· ἐὰν δὲ ἐπιθεωρήσῃ, ὑπὸ γείτονος ἤ τινος τῶν συνεστίων ὑπονενόθευται· ἐὰν δὲ Ἀφροδίτη ἢ Ζεὺς ἢ Ἥλιος, συγγενής τις ἢ υἱὸς ἢ πατὴρ ἢ ἀδελφὸς συνέγνω καὶ ἐλευθέρωσεν· ἐὰν δὲ ᾖ ὁ Ζεὺς ἢ ἐν Κριῷ ἢ ἐν Ταύρῳ ἢ ἐν Διδύμοις ἢ Καρκίνῳ ἢ Λέοντι ἢ Παρθένῳ ἢ Σκορπίῳ <ἢ> Ἰχθύσι, ὁ φεύγων ἐν ἱεροῖς εὑρεθήσεται τόποις, καὶ μάλιστα ἐὰν Ἀφροδίτη ἐπιθεωρήσῃ, ἐν τοῖς ἱεροῖς τόποις κρατηθέντες παραδοθήσονται· Κρόνος μετὰ Σελήνης ἐὰν γένηται, ἐν τόπῳ καθύγρῳ ἀποληφθήσεται· Κρόνος καὶ Ζεὺς ἐὰν μετὰ Σελήνης γένωνται, ἐν καθύγρῳ τόπῳ εὑρεθήσεται· Κρόνου μεσουρανοῦντος, εἰς φυλακὴν καὶ δεσμὰ παραδοθήσεται μετὰ ἡμέρας κε′ ἢ ξγ′· Ζεὺς ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος ἢ μετὰ τῆς Σελήνης ἐὰν γένηται, ἄργυρον ἀποίσει μεθ᾿ ἑαυτοῦ οὐκ ὀλίγον, καὶ ἄλλον τινὰ ὑπονοθεύσει καὶ κρατηθήσεται ἐντὸς ἡμερῶν πθ′ ἢ ρο′ καὶ ὁ κύριος αὐτῶν δι᾿ ἐκεῖνον ὠφέλειάν τινα ἕξει. τὸ αὐτὸ ποιήσει καὶ Ἀφροδίτη· τὸ δὲ πλεῖον, λέγε αὐτὸν ἀσελγῆ, † ρωμενοκοπον, κατάλιχνον, ἄσωτον. ἐὰν δὲ Ἑρμῆς ἐπίδῃ, κακότροπον, δόλιον, ἐνεδρευτὸν λέγε τὸν δραπέτην· ἐὰν δὲ μετὰ Σελήνης Ἑρμῆς ἐπὶ τοῦ μεσουρανήματος γένηται, μόνον αὐτὸν ἀποκεχωρηκέναι δηλοῖ· Ἑρμῆς ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος μετὰ Ἀφροδίτης ἐὰν γένηται, ἀνὴρ καὶ γυνὴ ὁμόσε πεφεύγασιν· ἐὰν δὲ μετὰ Κρόνου ἐπὶ τὸν ὡροσκόπον ἢ τὸ μεσουράνημα γένηται, δύο πεφεύγασιν· Ἀφροδίτη, λέγε νεώτερον, ἀπὸ μ′ ἕως ν′, ἐὰν μετὰ Ἄρεως ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος γένηται, ἀνὴρ ἢ γυνὴ [καὶ] πεφεύγασιν. Κρόνος, Ἑρμῆς, Σελήνη ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος ἐὰν γένωνται, εὐνοῦχον τὸν δραπέτην λέγε· Ἄρης, Ἑρμῆς, Ἥλιος ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ὡροσκόπῳ ἐὰν γένωνται, ἑρμαφροδίτην τὸν δραπέτην λέγε. Κρόνος καὶ Ἄρης ἐὰν ἐπὶ τοῦ ὡροσκόπου γενεθῶσιν, εἰς ἀλλότριον ἐξουσίαν ὁ φυγὼν ἑαυτὸν δώσει. Ὅ τι δ᾿ ἂν ᾖ κεκλοφώς, ἀπὸ τοῦ ὡροσκόπου γνώσει, ἐπειδὰν

1 ἐμπεφορτισμένου cod., -ος scripsi. 7 κατ᾿] καὶ cod. 9 ταῦτα cod. 16 post Σκορπίῳ: ἢ inserui. 21 φυ^ cod., φυλακὴν scripsi. 23 ἀπώσει cod, ἀποίσει scripsi. 25 ὠφέλειαν] -ειεν cod. 26 ἐρωμενοκόπος coni. Wünsch; ἐρωμανῆ σκότιον? ἄξει cod., corr. Kroll. 28 ἐνέδρευτον cod., corr. Kroll. 28 ἐπὶ] ἀπὸ cod. 33 ἢ] ἡ cod. 38-39 ἐξ ουσ′ ὁ φυγῶν ἑαυτὸν δοσ′ cod., ἐξουσίαν ὁ φυγὼν ἑαυτὸν δώσει scripsi.

τινες ἐπῶσι<ν> αὐτῷ ἀστέρες ἢ ποῦ τὸ ἴδιον ἡ Σελήνη ἐπιβάλλῃ δωδεκατημόριον. Σελήνη ἐὰν ὑπὸ γῆν πέσῃ, δυσχερῶς ἀνευρεθήσεται, καὶ μᾶλλον ἐὰν ἐν Διδύμοις ἢ ἐν Λέοντι ἢ Ζυγῷ ἢ Ἰχθύσιν· Ζεὺς ἐὰν ἐπιθεωρήσῃ, ταχέως εὑρεθήσεται· ἐὰν δὲ Κρόνος ἢ Ἄρης, τὸ ζῆν κινδυνεύσει ἢ ὃ ἕξει μεθ' ἑαυτοῦ ἀπολέσει, καὶ ἐὰν ἐπὶ τοῦ ὡροσκόπου γένηται, μηνυθεὶς εὑρεθήσεται· ἐὰν δὲ ἐπὶ τοῦ μεσουρανήματος, ἐν ἐπιφανεῖ καὶ πολυοχλουμένῳ τόπῳ εὑρεθήσεται· ἐὰν δὲ ὑπὸ γῆν, δυσχερῶς εὑρεθήσεται ὑπὸ μηνυτοῦ· ὅταν τι μέσον ἄρξηται τῆς ὁδοῦ ὁδεύειν, ἐν ἀρχῇ τῆς ἐξόδου κρατηθήσεται· ὅταν τις <εἰς> τὸ δυτικὸν πορευόμενος, καὶ ἅμα ἐν τόπῳ καθύγρῳ κρατηθήσεται· ὅταν τις εἰς ἀρκτικὸν πορευόμενος, δυσχερῶς κρατηθήσεται. ἐάν τις τῶν ἀστέρων ἐν τῷ ἰδίῳ οἴκῳ ᾖ, ἡ δὲ Σελήνη ἐν τροπικῷ ζῳδίῳ γένηται, φάσκε μὴ δεδραπευκέναι αὐτόν· χρήματα ἐὰν ἀποφέρηται ὁ δραπέτης καὶ Ἄρης ἐπιθεωρήσῃ τὸν ὡροσκόπον ἢ τὴν Σελήνην, δαπανήσει εἰς ἄσωτον τὰ χρήματα· ἐὰν δὲ Ἀφροδίτη μετὰ Ἄρεως γένηται, εἰς ἀσελγείας καὶ ἐπιθυμίας γυναικῶν καὶ τοῦ ** χάριν πέφευγεν· Ζεὺς ἐὰν ἐπίδῃ τὸν ὡροσκόπον, καὶ ὑπὸ Κρόνου θεωρηθῇ, ὅ τί ποτ' οὖν ἐβάστασεν, ἀπολέσει, αὐτὸς μέντοι γε σωθήσεται.

Ποιήσωμεν δὲ καὶ τοιοῦτόν τινα τῆς προγνώσεως τρόπον· Σελήνην ποιήσωμεν τὸν δραπέτην, τὸ δὲ μεσουράνημα τὸν κύριον. ἐὰν οὖν ἐν τῇ καταρχῇ τῆς φυγῆς ἡ Σελήνη φθίνῃ, καὶ μὴ μακρὰν τῆς πανσελήνου τυγχάνῃ, ταχέως ὁ δραπέτης εἰς τὸν οἶκον ἐπανήξει· καὶ τὸν κύριον κατά τινα αἵρεσιν ἢ καθ' ἑαυτὸν *** καὶ οὕτως αὐτῷ κρυβήσεται τὸ ἁμάρτημα. ἐὰν δὲ αὔξῃ ἡ Σελήνη, οὐκ ἔξω λήσει <ὁ> φυγών, καὶ ταχέως εἰς τὴν ἐξουσίαν τοῦ κυρίου ἐλεύσεται· ἐὰν δύνῃ ὁ Ἥλιος καὶ ἀπὸ Κρόνου ἢ Ἄρεως θλίβηται, ὁ κύριος θᾶττον τελευτήσει καὶ ὁ δραπέτης ἀναχθήσεται. ὁμοίως κατανόει καὶ τὸ μεσουράνημα, καὶ ἐὰν οἱ κακοποιοὶ ἐπ' αὐτῷ τύχωσι, τῷ κυρίῳ πλείονα ζημίαν καὶ βλάβην ζητοῦντι ἐποίσουσιν, ἢ ὠφέλειάν τινα εὑρίσκουσιν. [A. O.]

6 ἀνεπφανῆ cod., corr. Kroll. 8 τι μέσον suspect. 9 εἰς inserui. 14 ἀσωτίαν coni. Kroll. Sc. εἰς γυναῖκα ἄσωτον cf. e. g. Aristaen. ep. II, 12 τὴν ἄσωτον ὑπαινίττομαι * [Wünsch]. 16 lacunam sign. 17 αὐτὸν cod. 23 post ἑαυτὸν lacunam signavi. 24 ὁ inserui. 26 θλιβεῖται cod.

F. 103 (215v). ιθ'. Περὶ καταρχῶν Σεραπίωνος.

Ἐπὶ πασῶν τῶν καταρχῶν τῶν ἤδη ἀρχὴν ἐσχηκότων καὶ τὴν ἀρχὴν μελλόντων λαβεῖν, δεήσει πρῶτον συνορᾶν τὸν πολεύοντα καὶ διέποντα, καὶ τὸν τῆς ὥρας τῆς καταρχῆς κύριον ἐν ὁποίοις τόποις τετεύχασι· ἐπὰν γὰρ τύχωσιν ἐπὶ τῶν κέντρων τῆς καταρχῆς, ἐφ' ᾧ ἐπέβαλε τῷ πράγματι ἢ ἐπιβάλλονται, διὰ τάχους ἀνυσθήσεται· εἰ δὲ ἐπὶ τῶν ανα-

5 ἐπεβάλετο cod., corr. Kroll. 6 l. ἐπιβάλλεται?

φορῶν τύχωσιν, ἀνυσθήσεται μέν, βραδέως δέ. ἐπὶ δὲ τῶν ἀποκλιμάτων αὐτῶν ὄντων, οὐκ εἰσιν ἀνύσιμα. ἐὰν δὲ ἀμφήριστοι εὑρεθῶσι, πρὸς τὴν ἐπιρροπωτέραν σχέσιν τὸ πρᾶγμα ἀποβήσεται. ἐπὰν οὖν οἱ ἀγαθοποιοὶ καὶ ἡ Σελήνη καὶ ὁ Ἑρμῆς μαρτυρήσωσιν αὐτοῖς, τουτέστι τῷ πολεύοντι καὶ διέποντι καὶ τῷ κυρίῳ τῆς ὥρας, ἐπὶ συμφόρου ἀποβήσεται τὸ πρᾶγμα· ἐπὰν δὲ οἱ κακοποιοὶ καὶ ἡ Σελήνη καὶ ὁ Ἑρμῆς μαρτυρήσωσιν, ἀσύμφορος καὶ ἡ καταρχή· ἐὰν δὲ ἀμφότερ(οι) *** πρὸς τοὺς ἐπιρροπωτέρους ἡ καταρχή. γνωσθήσεται λοιπὸν εἰ παράμονοι ἔσονται αἱ καταρχαὶ οὕτω· παρατηρεῖν δεήσει τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ἐν ὁποίοις εἰσὶ ζῳδίοις, καὶ τὰς φύσεις αὐτῶν καὶ τὰς τοποθεσίας, ἔτι δὲ καὶ τὰς συναφὰς καὶ ἀπορροίας τῆς Σελήνης καὶ εἰ στηρικτικοί εἰσι πρὸς οὓς φέρεται, ἔτι τε καὶ τοὺς συνδέσμους αὐτῶν, καί οὕτω γνώσει τὴν τῆς καταρχῆς ποιότητα· ἐν μὲν γὰρ τοῖς τροπικοῖς ἡ Σελήνη τυχοῦσα ἢ καὶ ὁ ὡροσκόπος ταχέως μεταβολὴν τῆς καταρχῆς ποιήσουσιν, ἐάνπερ μὴ ὑπὸ σύνδεσμον τύχῃ εἶναι τὴν Σελήνην· ἐν δὲ τοῖς δισώμοις τυχόντων αὐτῶν, χρόνον μὲν ποιήσει, οὐ διὰ παντὸς δὲ μένει· ἐὰν δὲ ἐν τοῖς στερεοῖς, παραμόνιμος ἡ καταρχή· ὥσπερ πάλιν ὑπὸ σύνδεσμον οὔσης τῆς Σελήνης, παραμόνιμος ἡ καταρχή, ἔτι δὲ πλέον εἰ καὶ ἐν στερεῷ τύχῃ ζῳδίῳ. συμπαραλαμβάνειν δὲ δεῖ καὶ τὰς ἐπιμαρτυρίας ἢ καὶ συναφὰς ἢ καὶ ἀπορροίας· ἐπὰν γὰρ πρὸς στηρικτὸν ἀστέρα ἡ Σελήνη φέρηται, βραδυτῆτα παρέχει. ἐν δὲ ταῖς μετατροπὴν ἐχούσαις καταρχαῖς, ἐν ταῖς τετραγώνοις ἢ διαμέτροις ἢ συνόδοις ἡ μετατροπὴ γενήσεται. [F. C.]

6 δὲ] γὰρ cod. Post ἀμφότεροι lacunam signavi. 14 εἰ καὶ cod., corr. Kroll. μεταβαλῶν cod. 19 πλέως cod. 20-21 στηρικτικόν corr. Kroll.

F. 105 (221). λα'. Καταρχὴ ὅτε εἰσῆλθε Θεόδωρος ὁ Αὐγουστάλιος ἐν Ἀλεξανδρείᾳ [1].

Οὗτος καλῶς ἄρξας καὶ εὐθηνίαν ποιήσας καὶ ἄκλοπος ὢν καὶ φιλαλήθης καὶ μαρτυρηθεὶς ὑπὸ τῆς πόλεως τάχει διεδέχθη μεθ' ὕβρεως καὶ ζημίας ὡς κλέψας· ἔτους Διοκλητιανοῦ σβ', μηνὶ Φαμενὼθ κε', ἡμέρᾳ Σελήνης, ὥρᾳ α', Ἥλιος Ἰχθύων κϛ', Σελήνη Αἰγοκέρωτος κζ', Κρόνος Τοξότου ια', Ζεὺς Λέοντος κζ', Ἄρης Κριοῦ κε', Ἀφροδίτη Ἰχθύων ιβ', Ἑρμῆς Ἰχθύων κγ', ὡροσκόπος Κριοῦ κϛ', μεσουράνημα Αἰγοκέρωτος ι', ἀναβιβάζων Τοξότου λβ', καταβιβάζων Παρθένου κ', τύχη Ὑδροχόου κζ'. ὅρα τὸν Ἄρεα ὡρονομοῦντα καὶ ἰδιοθρονοῦντα καὶ ὑπὸ Διὸς καὶ Κρόνου τριγωνιζόμενον καὶ τὴν Ἀφροδίτην καὶ τὸν κλῆρον τῆς τύχης ἀγαθοδαιμονοῦντας καὶ τὴν Σελήνην μεσουρανοῦσαν

6 κε'] lege κϛ', i. e. d. 23 Martii a. 487 p. C. n.

[1] Theodorus praefectus augustalis Aegypti qui a. 487, p. C. Alexandriam introiit alioquin ignotus esse videtur (cf. *Rev. instr. publ.*, l. c., p. 9).



καὶ τὸν Δία καὶ τὴν Ἀφροδίτην τοὺς κυρίους τῆς πόλεως ἐπαναφερομένους τῷ ὡροσκόπῳ, καὶ εὑρήσει τὰ πρῶτα τῆς ἀρχῆς καλὰ καὶ εὔχρηστα καὶ παντὸς ἐπαίνου ἄξια. ἀλλὰ πάλιν ζητήσας τὸν οἰκοδεσπότην τῆς τύχης καὶ τῆς Σελήνης, εὑρήσει τὸν Κρόνον ἀποκεκλικότα καὶ ἐν πάθει τῶν ἐκλειπτικῶν ἐκπεπτωκότα· ὃς ἐποίησε τὴν καθαίρεσιν μεθ' ὕβρεως. τὸ δὲ τάχιον αὐτὸν διαδεχθῆναι παρεσκεύασαν ὁ Ἄρης καὶ <ὁ> ὡροσκόπος καὶ ἡ Σελήνη ἐν τροπικῷ ζωδίῳ καὶ ὀλιγαναφόροις τετυχηκότες. τὸ δὲ καὶ ζημιωθῆναι αὐτὸν παρεσκεύασε πρῶτον ὁ τοῦ κλήρου κύριος τῆς τύχης ἀποκεκλικὼς καὶ Ἄρης τῆς πόλεως ἐποίησεν ὁ Ζεὺς καὶ ἡ Ἀφροδίτη τῆς πόλεως ἐπαναφερόμενοι τῷ ὡροσκόπῳ αὐτῷ. ἦν δὲ μονότονος καὶ ὑβριστὴς διὰ τὴν φύσιν Ἄρεως τοῦ παρ' αἵρεσιν ὡροσκοποῦντος. [F. C.]

6 ὁ suppl. 7 ὀλίγο ἀναφόροις cod., corr. Kroll. 9-11 verba corrupta. Pro Ἄρης coni. ἄρχειν Kroll.

F. 107 (226ᵛ). λη'. Περὶ δρασμῶν Σεραπίωνος.

Ἐπὰν τῆς Σελήνης ἢ καὶ τοῦ ὡροσκόπου ἐν τροπικοῖς ζῳδίοις ἢ καὶ ἐν δισώμοις τυχόντων καὶ ὑπὸ κακοποιῶν μαρτυρηθέντων ἀποδράσωσι, ταχέως εὑρεθήσονται· ἐὰν δὲ ἐν τοῖς στερεοῖς ἢ ὑπὸ σύνδεσμον, βραδέως εὑρίσκονται, ἔσθ' ὅτε θανατοῦνται· ἐὰν δὲ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθῶσιν, οὐχ εὑρεθήσονται, μάλιστα ἐν τοῖς στερεοῖς ἢ ὑπὸ σύνδεσμον εἰ ἀποδράσωσι. καὶ ἐπὶ πασῶν τῶν γινομένων καταρχῶν χρῆσαι τῇ Σελήνῃ, καὶ τῷ πολεύοντι καὶ διέποντι, καὶ τῇ ὥρᾳ καὶ τῷ κυρίῳ τῆς ὥρας καθὰ τὰ περὶ καταρχῶν σοι ἐν ἀρχῇ τῶν τρόπων διέγραψα, καὶ εὐσύνοπτος ἔσται σοι ἡ καταρχή. [F. C.]

5 ἔσθ' ὅτε] ἢ ὅτι cod. 10 καθὰ ... διέγραψα, cf. supra ιθ' v. 1 ss. 9 τρόπων suspectum.

Ibid. λθ'. Τοῦ αὐτοῦ περὶ συνοχῶν ἢ κατακλίσεων.

Τὴν Σελήνην καὶ τὸν ὡροσκόπον καὶ τὸν Ἑρμῆν παρατηρεῖν δεήσει ὑπὸ τίνων μαρτυροῦνται, ἀπὸ τίνος τε ἡ Σελήνη ἀπέρρευσεν. ἡ γὰρ ἀπόρροια περὶ τοῦ ἤδη γενομένου σημαίνει, ἡ δὲ συναφὴ περὶ ἀπολύσεως ἢ ὁλοκληρώσεως· πάντως δὲ εὑρήσει ἐπὶ τῶν συνοχῶν ἢ κατακλίσεων ἀπὸ κακώσεως τῆς Σελήνης ἢ καὶ τοῦ ὡροσκόπου ἢ καὶ τοῦ Ἑρμοῦ γινόμενον τὸ τοιοῦτον· διαφορὰ δὲ κακώσεώς ἐστι· καὶ γὰρ

v. 2 sqq. In margine eadem manu sed rubro liquore : Ἐὰν κατὰ τὴν ὥραν τῆς κατακλίσεως περισχεθῇ ἡ Σελήνη καὶ ὁ ὡροσκόπος ὑπὸ κακοποιῶν, μηδενὸς τῶν ἀγαθοποιῶν λόγον ἔχοντος πρὸς τὴν Σελήνην καὶ τὸν ὡροσκόπον, θανατῶδές ἐστι τὸ σῆμα. ἀνίατα δὲ ποιοῦσιν οἱ κακοποιοὶ μόνον τὴν ἐπικράτειαν τῶν σχημάτων λαβόντες. 3 τε] δὲ cod., corr. Kroll. 5 ὁλοκλήρωσις pro ὁλοκληρία dictum est ad similitudinem verbi κλήρωσις.

ἐπὶ μαρτύρων τὴν διαφορὰν ἢ ἐπιτρίβει ἢ ἡμεροῖ· ἐὰν ἐπιρροπωτέρα φανῇ ἡ τῶν ἀγαθοποιῶν μαρτυρία, ἢ καὶ ἡ Σελήνη ἐν τοῖς τριταίοις συνάψῃ ἀγαθοποιῷ ἀστέρι, ἀκίνδυνος ἔσται ἡ συνοχὴ ἤτοι ἡ νόσος· ἐὰν δὲ ἡ τῶν κακοποιῶν μαρτυρία ἐπιρροπωτέρα τύχῃ εἶναι, ἀπολεῖται ὁ ἐν τῇ συνοχῇ ἤτοι ὁ νοσῶν. ἡ δὲ ποιότης τῆς συνοχῆς ἢ τῆς νόσου ἤτοι ἡ φθορὰ γνωσθήσεται ἐκ τῆς φύσεως τοῦ ζῳδίου ὅπου ἡ Σελήνη ἐστὶ καὶ ἀφ' οὗ ἀπορρεύσει ἀστέρος ἢ τῆς συναφῆς. ἐὰν μὲν γὰρ ἐν τροπικοῖς ζῳδίοις ᾖ ἡ Σελήνη, ταχέως τὸ συμβεβηκὸς ἐπὶ πέρας ἥξει· ἐὰν δὲ ἐν δισώμοις, μέσως ἀποβήσεται· ἐὰν δὲ ἐν τοῖς στερεοῖς ἢ συνδέσμοις, βραδυτῆτα δηλοῖ. τὸ δ' αὐτὸ κἂν ἀπὸ στηρίζοντος ἀστέρος ἀπορρεύει· ἐπὰν δὲ ἐπὶ συνδέσμου οὔσης τῆς Σελήνης κακωθῇ ὁ σύνδεσμος, σφαλερώτερος ἔσται ὁ κίνδυνος. συμπαραλαμβάνειν δὲ δεῖ καὶ τὸν πολεύοντα καὶ διέποντα, καὶ τὸν κύριον τῆς ὥρας καθὰ ἐν τῇ καταρχῇ περὶ τούτου σοι διέγραψα. [F. C.]

1 vix sanum. 3 ἤτοι in cod. dubium. 6 γνωθήσεται cod. 7 ἐὰν δὲ καὶ cod. 8 ᾖ] ἦν cod. 11 l. ἀπορρένει cod., corr. Kroll. De ἀπορραίνει vix cogitari potest. κακοθῇ cod. 12-13 καθὰ ... διέργαψα, cf. cap. ιθ' v. 1 ss.

F. 112ᵛ (235ᵛ). νζ'. Καταρχὴ πλοίου.

Ἐξῆλθέ τις ἀπὸ Καισαρείας ἔτους Διοκλητιανοῦ ρqα'ου, μηνὶ ὀκτωβρίῳ α'η, ἡμέρᾳ πέμπτῃ. Ἥλιος Ζυγοῦ ..., Σελήνη Σκορπίου κζ', λϛ', Κρόνος Καρκίνου κζ', Ζεὺς Παρθένου ιϛ' λ', Ἄρης Διδύμων ιζ' λ', Ἀφροδίτη Λέοντος κγ' λ', Ἑρμῆς Ζυγοῦ κε' λ', ὡροσκόπος Τοξότου ϛ', μεσουράνημα Παρθένου κβ', ἀναβιβάζων Καρκίνου ιβ' λ'. — Διὰ τὸ τὴν Σελήνην τετυχηκέναι ἐν ὁρίοις Κρόνου καὶ κακοδαιμονεῖν καὶ ὀλιγοδρομεῖν χειμῶνα καὶ βραδυτῆτα ἐποίησε τὸν τοιοῦτον <ἔχειν> εἰς τὸν πλοῦν· τὸ δὲ διάμετρον Ἄρεως πρὸς Ἑρμῆν ἐποίησε παθεῖν τοὺς αὐχένας τοῦ πλοίου καὶ μάχας καὶ συμβολὰς ἐν τῷ πλοίῳ γενέσθαι. ἀλλὰ ... τὴν καταρχὴν οὐκ ἠδίκησε διὰ τὸν κύριον τοῦ ὡροσκόπου· ἡ δὲ Ἀφροδίτη ἐν χερσαίῳ ζῳδίῳ εὑρεθεῖσα καὶ ὑπὸ Κρόνου καὶ Ἄρεως θεωρουμένη, ... παραβαλὼν δὲ ἐν γῇ παρὰ γυναικὸς ἐφιλήθη διὰ τὸ τὰ τετράγωνα τῶν χερσαίων <ὑπ'> ἀγαθῶν θεωρεῖσθαι· τὸ δὲ δίσωμον τοῦ ὡροσκόπου καὶ Διὸς ἐποίησεν αὐτὸν εἰς ἕτερον πλοῖον ἀνελθεῖν ἀπὸ Ἀβύδου· καὶ ὅτε ἦλθε Σελήνη ἐν Ζυγῷ διαμετροῦσα τὸν κατὰ πῆξιν Ἄρεα, Ἄρεως ἐν Ταύρῳ διαμετροῦντος τὴν κατὰ πῆξιν Σελήνην, καὶ ἡ διέξοδος ἀπὸ ὁμοζώνων, ἰδοὺ καὶ ἡ εἴσοδος εἰς ὁμοζώνους ἔληξεν. [F. C.]

2 Καισαρείας] Intellege Caesaream Palaestinae. ρqα' = 475 p. C. n. Compendium mensis nominis dubium: ὀ(κ)τ(ω)βρ(ί)ῳ esse videtur. 3 Post Ζυγοῦ numerus omissus est in lacuna. 7 ὁρίαις cod. 8 ἔχειν supplevi. 11 post ἀλλὰ lac. ιν litt. 13 post θεωρουμένη lac. circ. νι litt. ὑπ' suppl. Kroll. 17 ὁμοζώνας cod., corr. Kroll.

Ibid. νη'. Ἐρώτησις καταρχῆς περὶ φόβου πλοίου ἐν Ἀθήναις.

Ἔτους Διοκλητιανοῦ ρϛ'ου, μηνὶ Ἐπιφὶ κβ', ὥρᾳ ἡμέρας πρώτῃ, Ἥλιος Καρκίνου κα', Σελήνη Διδύμων κα', Κρόνος Λέοντος ιζ', Ἑρμῆς Καρκίνου ϛ', *** ἀναβιβάζων Διδύμων ** πρὸ πάντως ζητήσας τὸν κλῆρον τῆς τύχης, εὗρον ἐν τῷ ιβ' ἐν καθύγρῳ ζῳδίῳ· καὶ τοῦτο τὸ σχῆμα εὑρήσεις κείμενον ἐν τῷ ζ' κεφαλαίῳ τῶν καταρχῶν· ὅτι ἐὰν ὁ κλῆρος τῆς τύχης εὑρεθῇ ἐν τῷ ιβ', δηλοῖ τὴν ἐρώτησιν φόβον καὶ κίνδυνον καὶ σῖνος ἔχειν, καὶ ἀφαίρεσιν πραγμάτων καὶ κλοπὴν καὶ ζημίαν ἀπὸ ἐχθρῶν καὶ δίκης καὶ δούλου καὶ ξένου καὶ τετραπόδων· εὑρέθη γὰρ ἡ ἐρώτησις, διὰ τὸ κάθυγρον τοῦ ζῳδίου, περὶ πλοίου, διὰ δὲ τὸν ιβ' τόπον, περὶ φόβου καὶ κινδύνου καὶ ζημίας καὶ ξενιτείας καὶ δούλου καὶ τετραπόδων. ἀλλὰ δὴ καὶ οἱ κύριοι τῆς ὥρας καὶ τῆς Σελήνης ἀποκεκλικότες, ἐσήμαναν τὴν ἐρώτησιν περὶ ξένων. εἶπον δὲ αὐτοὺς καὶ κίνδυνον ὑπομεμενηκέναι καὶ ἀποβολὴν καὶ ζημίαν, διὰ τὸ ὡροσκοπεῖν Ἄρεα καὶ Κρόνον· πάλιν δὲ ..... καὶ διὰ τὴν τῆς Ἀφροδίτης παρουσίαν καὶ τὴν Σελήνην συνάπτειν πρὸς Δία καὶ ἐμπεπτωκότας πείρᾳ, δεδωκότας εἶναι ιε' *** ἐσώθησαν· εἶπον δὲ αὐτοὺς φέρειν τετράποδα, διὰ τὸν κλῆρον τῆς τύχης, καθὰ προείρηται, καὶ διὰ τὸν Λέοντα ὡρονομοῦντα· οἱ δὲ καμήλους ἤνεγκαν. ζητήσας δὲ καὶ τὸ κεφάλαιον Δωροθέου, τί τὸ ἀπολλύμενον, ἀπὸ μὲν τοῦ εἶναι ἐν Διδύμοις τὴν Σελήνην, εἶπον φέρειν αὐτούς τινα πολύχρωμα καὶ ὅσα πρὸς τέρψιν καὶ εὐωχίαν ἥκει· οἱ δὲ ἤνεγκαν κορτίνας καὶ φραντάλια καὶ ἀκουβητάλια. προσεσχηκὼς δὲ ὅτι καὶ ὅρια Ἄρεως **, εἶπον ὅτι φέρουσίν τινα σκεύη ἀπὸ ἄκμονος καὶ σφύρας τετυμμένα· οἱ δὲ ἤνεγκαν ὀργομουκία (?) ἀργυρᾶ βαστέρνια. εἶπον δὲ ὅτι καὶ τῆς Σελήνης οὔσης ἐν Τοξότῃ [ἢ] ἢ Ἰχθύσι φέρεται τὸ πλοῖον, τηρήσας τὰ διάμετρα καὶ τὸ τετράγωνον τῆς Σελήνης, ἵνα καὶ ὁ Ἥλιος γένηται ἐπὶ τὸν ἴδιον οἶκον τοῦ ὡροσκόπου· οἱ δέ, τῆς Σελήνης ἐλθούσης ἐν Τοξότῃ, ἐληλύθασιν. ἐὰν οὖν τις μεταχειρίζηται τὰ κεφάλαια τῶν ἀρχαίων, εὑρίσκει ἀφορμὰς εὐλόγους οὐκ ὀλίγας. [A. O.]

Plagulam cum codice denuo contulit F. Boll. 3 = 17 Jul. 475, p. C. n. 4 lac. sign. Boll. 11-12 ζημιαν καὶ ξενητειαν cod. 13 post δὲ unius fere lineae spatium vacuum. 16 παροῦσαν cod. 17 lacun. sign. Wünsch. 20 ἀπολλόμενον cod. 23 ἀκούβητα λινὰ cod. Intellege *cortinas, frontalia (?) accubitalia.* lacun. sign. 25 ὀργομουκι' cod., ἄργυρον καὶ coni. 26 ἢ dittogr. seclusi. 30 ἀφόρμας cod.

Ibid. νθ'. Ἄλλη ἐρώτησις ἐν Σμύρνῃ περὶ φόβου πλοίου· προσεδοκᾶτο γὰρ πρὸ πολλοῦ ἐληλυθέναι ἀπὸ Ἀλεξανδρείας καὶ οὐκ ἐληλύθει.

Ἔτους Διοκλητιανοῦ ρϛε', μηνὶ Ἐπιφὶ κ', ὥρᾳ ἡμέρας γ', ἡμέρᾳ Κρόνου, Ἥλιος Καρκίνου ιθ', Σελήνη Σκορπίου ιϛ', Κρόνος Παρθένου ιϛ',

4 = 15 Iul. 480 p. C. n.

Ἄρης Παρθένου ιη', Ζεὺς Ὑδροχόου η', Ἀφροδίτη Διδύμων ϛ', Ἑρμῆς Λέοντος ** δυ(τικὸς) ἀφαι(ρετικός), ὡροσκόπος Παρθένου β', μεσουράνημα Ταύρου κϛ', ἀναβιβάζων Κριοῦ ια', κλῆρος τύχης Τοξότου κθ'· λαβὼν <τὸν> πολεύοντα καὶ διέποντα — ἦν Κρόνος καὶ Ἄρης — καὶ πάλιν ἑωρακὼς Κρόνον καὶ Ἄρεα ὡροσκοποῦντας, τὴν δὲ Σελήνην πρὸς Κρόνον φερομένην, μετὰ δὲ εἶπον μεγάλῳ μὲν χειμῶνι περιπεπτωκέναι τὸ πλοῖον· σώζεσθαι δὲ αὐτό, διὰ τὸ τὴν Ἀφροδίτην καὶ τὴν Σελήνην ὁρᾶσθαι ὑπὸ τοῦ Διός, καὶ τὴν ἑβδομαίαν αὐτῶν πρὸς Δία φέρεσθαι, καὶ τὸ δωδεκατημόριον αὐτῶν πρὸς Δία· ὅτι δὲ ἡ ἐρώτησις τῆς καταρχῆς περὶ πλοίου ἀφανὴς ἐτύγχανεν, ὅρα τὸν κλῆρον τῆς τύχης ἐν Τοξότῃ, ἔνθα παρανατέλλει ἡ Ἀργώ, ἀλλὰ δὴ καὶ τὸν κύριον αὐτοῦ ἐν καθύγρῳ ζῳδίῳ. ἑωρακὼς δὲ τὸν ὡροσκόπον ἐν δισώμῳ καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἀφαιρετικόν, καὶ τὴν κυρίαν τοῦ μεσουρανήματος τὴν Ἀφροδίτην ἐν δισώμῳ καὶ τὸν κύριον τῆς τύχης ἐν δισώμῳ καὶ τὸν ὑποδεξάμενον τὸν κύριον τοῦ κλήρου τῆς τύχης ἐν δισώμῳ καὶ τὸν οἰκοδεσπότην τῆς Σελήνης ἐν δισώμῳ, εἶπον ὅτι οὗτοι ἀπὸ πλοίου εἰς πλοῖον μεταβήσονται. διὰ δὲ τὸ τὴν Ἀφροδίτην πτερωτὸν εἶναι κατὰ τὸν Τοξότην, εἶπον ὅτι πτερωτά τινα φέρουσι μεθ' ἑαυτῶν· καὶ διὰ τὸ εἶναι τὴν Σελήνην οἴκῳ Ἄρεως καὶ ὁρίοις Ἑρμοῦ, εἶπον ὅτι καὶ βιβλία τινὰ ἢ χάρτας μεθ' ἑαυτῶν εἰκὸς αὐτοὺς ἐνεγκεῖν, καί τινα σκεύη χαλκᾶ διὰ τὸν Σκορπίον. ἑωρακὼς δὲ ὅτι τῇ Σελήνῃ παρανατέλλει ὁ Ἀσκληπιός, εἶπον ὅτι καὶ ἰατρικὰ σκεύη φέρουσι μεθ' ἑαυτῶν. πότε δὲ ὀφείλει ἐλθεῖν, εἶπον ὅτι τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ. ἦλθον καὶ ἐρωτηθέντες εἶπον τὴν βραδυτῆτα ἐν τῷ πελάγῳ † ἴσμεν μεγάλου γενομένου χειμῶνος καὶ διαχωρισθείσης τῆς θαλάσσης ὁ αὐχὴν εἰς πέτραν ἔκρουσε καὶ ἐκλάσθη, καὶ μεγάλως ἐχειμάσθησαν· εἰσελθόντες δὲ εἰς ὅρμον, μεταβαλόντες τὸν γόμον εἰς ἕτερον πλοῖον, ὅτου ἦλθον φέροντες μεθ' ἑαυτῶν, στρουθία δῆτα πτερωτὰ καὶ χάρτην λιτὸν διὰ τὸ τὸν Ἑρμῆν ἀφαιρετικὸν εἶναι καὶ σκεύη μαγειρικὰ διὰ τὸν Σκόρπιον καὶ φαρμακοθήκην πεπληρωμένην διὰ τὸν Ἀσκληπιὸν καὶ τὴν Ὑγείαν. [F. C.]

2 Post Λέοντος lacunam signavi. 4 τὸν supplevi. 9-10 τῇ καταρχῇ cod. ἀφανοῦς coni. Kroll. 11 κύριον] sc. Iovem. 12 κύριον] sc. Mercurium. 17 τὴν Ἀφροδίτην, lege τὸν κλῆρον τῆς τύχης? πτερωτόν non intellego, sed vv. 18 et 28 id tuentur. 23 ἦλθον ... εἶπον sc. nautae. 24 ἴσμεν corruptum. 26 ὅρμον corr.: ὁδὸν cod. 27 γόμον in apographo dubium est. ὅτου] ἅττα coni. Kroll.

F. 113 (236v). ξ'. Δημητρίου[1] περὶ δραπετευόντων.

Ὁ ὡροσκόπος ἐστὶν ὁ δραπετεύων καὶ ὁ χρόνος τῆς εὑρέσεως αὐτοῦ, τὸ μεσουράνημα ἡ αἰτία τῆς φυγῆς, τὸ δῦνον τὸ ἀποτέλεσμα τοῦ δραπετεύσαντος, τὸ ὑπόγειον εἰς ποῖον κλίμα ὑπάγει καὶ ποῦ μέλλει μένειν. ἐὰν οὖν Κριοῦ ὡροσκοποῦντος δραπετεύσῃ τις, εὑρεθήσε-

[1] Demetrius alioquin ignotus esse videtur.

ται ἐν τάχει· ἐὰν δὲ Ταύρου, ἐντὸς ἐνιαυτοῦ· ἐὰν δὲ ἐν Διδύμοις, ιβ' ἡμέρας ποιήσει· ἐὰν δὲ ἐν Καρκίνῳ, ἐντὸς ἡμερῶν ξ'· ἐὰν δὲ ἐν Λέοντι, οὐδέποτε ἐλεύσεται· ἐὰν δὲ Παρθένῳ, ἀφίσταται ἡμέρας ξ'· ἐὰν δὲ Ζυγῷ, αὐτόματος ἐλεύσεται· ἐὰν δὲ Σκορπίῳ, μένει ἐπὶ ἔτη β'· ἐὰν δὲ Τοξότῃ, μένει ἐπὶ ἔτη γ'· ἐὰν δὲ Αἰγόκερῳ, ἐν μὲν ταῖς ἀρχαῖς τοῦ ζῳδίου, ταχέως εὑρεθήσεται, ἐν δὲ ταῖς ἐσχάταις, μένει μῆνας ϛ'· ἐὰν δὲ ἐν Ὑδροχόῳ, μένει μῆνας ιε'· ἐὰν δὲ τοῖς Ἰχθύσι, μένει μῆνας ζ'. Παρατηροῦ δὲ τοὺς ἀστέρας ἐν ὡροσκόπῳ· ἐὰν Κρόνος ὡροσκοπῇ, τὸ ἥμισυ τοῦ χρόνου ἐρεῖς· ἐὰν δὲ Ἄρης, τὸ τρίτον μέρος· ἐὰν δὲ Ζεύς, διπλοῦν τὸν χρόνον· ἐὰν δὲ Ἀφροδίτη, πολὺν τὸν χρόνον· ἐὰν δὲ Ἑρμῆς, φυγὴν τελείαν δίδωσιν. ἐὰν δὲ Κριὸς μεσουρανήσῃ, ἄτερ αἰτίας ἐδραπέτευσεν· ἐὰν δὲ Ταῦρος, διὰ ἁμαρτίαν· ἐὰν δὲ Δίδυμοι, τῇ ψυχῇ διστάζων· ἐὰν δὲ Καρκίνος, δι' ἀπωλείας τινὸς δεσποτικοῦ [αὐτοῦ] πράγματος, ἀπολεσθέντος παρ' αὐτοῦ· ἐὰν δὲ Λέων, δι' ἄλλου ἀνεπείσθη· ἐὰν Παρθένος, διὰ λόγου ἢ πράγματος· ἐὰν Ζυγός, διὰ φόβου καὶ φρουρᾶς· ἐὰν Σκορπίος, δι' ὄνειδος ἢ δι' αἰσχύνης· ἐὰν Τοξότης, διὰ πόρνης ἐπιθυμίαν· ἐὰν Αἰγόκερως, διὰ βασάνου καὶ φόβου· ἐὰν Ὑδροχόος, διὰ μέθης· ἐὰν Ἰχθύες, διὰ γυναικῶν. Παρατηροῦ δὲ καὶ τοὺς ἀστέρας <ἐν μεσουρανήματι>· ἐὰν Κρόνος μεσουρανήσῃ, διὰ ἁμαρτήματα· ἐὰν Ἄρης, διὰ πληγὴν καὶ ὄνειδος· ἐὰν Ζεύς, ἄτερ αἰτίας ἔφυγεν. ἐὰν δὲ Ἀφροδίτη, διὰ κατηγορίαν καὶ διαβολὴν τῶν ἐν τῇ οἰκίᾳ ***. τὸ <δὲ> δῦνον ἀποτέλεσμά ἐστιν· ἐὰν οὖν Κριὸς δύνῃ σὺν Ἄρει, ἀποδώσει δίκην, ἀλλὰ συγχωρηθήσεται καὶ πάλιν δραπετεύσει· ἐὰν δὲ Ταῦρος δύνῃ, δεθήσεται· ἐὰν δὲ Δίδυμοι, πραθήσεται· ἐὰν δὲ Καρκίνος, διὰ παρακλήσεως ἀπολυθήσεται καὶ οὐκέτι δραπετεύσει· ἐὰν δὲ Λέων, πρὸς κακῶν ἀνθρώπων ἢ θηρίων κινδυνεύσει· ἐὰν δὲ Παρθένος, αὐτὸς δι' ἑαυτοῦ κινδυνεύσει (?) ἐὰν δὲ Ζυγός, συνεχῶς δραπετεύων εἰς πῦρ περιπεσεῖται· ἐὰν δὲ Σκορπίος, ἑαυτὸν ἐπιβουλεύσει, καὶ αὐτόχειρ ἑαυτοῦ ἔσται· ἐὰν δὲ Τοξότης, χρήσιμος ζήσεται· ἐὰν δὲ Αἰγόκερως, πεσὼν πληγήσεται· ἐὰν δὲ Ὑδροχόος, χρήσιμος ζήσεται· ἐὰν δὲ Ἰχθύες, διὰ γυναικὴν ἀποκατασταθήσεται. παρατηροῦ δὲ καὶ τοὺς ἀστέρας ἐν τῷ δυτικῷ ζῳδίῳ· ἐὰν Κρόνος δύνῃ, οὐδὲν ἀπηνέγκατο· ἐὰν Ἄρης, <πρὸς> θάνατον ἐξῆλθε μετὰ σιδήρου· ἐὰν δὲ Ζεὺς ἢ Ἀφροδίτη, χρυσὸν ἢ ἄργυρον ἢ ἱματισμὸν ἐβάστασεν· ἐὰν Ἑρμῆς, χαλκὸν εἷλκε. τὸ ὑπόγειον εἰς ποῖον κλίμα ἧκε καὶ ποῦ μέλλῃ μένειν· ἐὰν Κριὸς ὑπόγειος γένηται, οὐ μακρὰν ὑπάγει, ἀλλ' ἐν τοῖς

1 ἐν τέχει cod., corr. Kroll. 10 τρίτον scripsi, γὰρ cod. ex γ', ut vid., prave intellectum 12 ἅπερ cod. 14 αὐτ' cod., αὐτοῦ scripsi et uncis secl., " forte delendum " Kroll. 17 πόλεως cod, πόρνης coni. Kroll. 19 ἐν μεσουρανήματι supplevi. 21 ἅτερ cod. 22 lacunam signavi; deest de Hermete mentio. δὲ supplevi. ἀποτέλεσμενα cod., ἀποτέλεσμα scripsi. 27 αὐτὲ δι' ἑαυτ' ἐρωτησ' cod., αὐτὸς δι' ἑαυτου κινδυνεύσει scripsi. 32-33 ἀπηνεγκατος <*sic*> cod. πρὸς add. Kroll. 35 τὸ ὑπόγειον subaudi δηλοῖ.

ἀγροῖς κρυβήσεται· ἐὰν Ταῦρος, ἐν τῇ πόλει ἐστὶν ἐγγὺς μαγείρου ἢ ἑτοιμοπώλου· ἐὰν δὲ Δίδυμοι, οὐ μακράν, ἀλλ' ἐγγὺς τῶν τόπων· ἐὰν δὲ Καρκίνος, ἐν αὐτῇ <τῇ> πόλει διατρίψει καὶ ἄλλος αὐτὸν ἄξει· ἐὰν δὲ Λέων, εἰς ἐρήμους ἐστὶ τόπους· ἐὰν Παρθένος, οὐ μακράν· ἐὰν Ζυγός, ἐν τοῖς αὐτοῖς ὁρίοις· ἐὰν Σκορπίος, ἐκτὸς τῆς πόλεως ἐν ἱεροῖς οὐ μακράν· ἐὰν Τοξότης, διὰ πελάγους ἀπελεύσεται· ἐὰν Αἰγόκερως, εἰς τόπους ἀνακεχωρηκότας ἱεροὺς πρὸς δύσιν· ἐὰν Ὑδροχόος, παρὰ ποταμοὺς οὐ μακράν· ἐὰν Ἰχθύες, παρ' αἰγιαλοῖς παραθαλασσίοις. Παρατηροῦ δὲ καὶ τοὺς ἀστέρας <ἐν τῷ ὑπογείῳ>· ἐὰν Κρόνος ὑπόγειος γένηται, δεσμὰ εἰς ἐργάτας ἐμπίπτουσιν· ἐὰν Ἄρης, ἐν ὄρει σφαγιάζονται· ἐὰν Ζεὺς ἢ Ἀφροδίτη, ἐλευθέρους αὐτοὺς λέγουσιν· ἐὰν Ἑρμῆς, πλάγιοι ῥέμβονται· ἐὰν Σελήνη ὡροσκοπήσῃ, διὰ κατηγοριῶν εὑρεθήσεται· ἐὰν δὲ μεσουρανήσῃ, ἐν ὄχλοις ἢ ἐν δημοσίοις τόποις· ἐὰν οὖν πρὸς δύσιν, ἐν καθύγροις τόποις· ἐὰν δὲ ὑπόγειος, δυσκόλως εὑρεθήσεται. [A. O.]

1 ταῖς ἀγραῖς cod., τοῖς ἀγροῖς corr. μαγείου cod., corr. 3 τῇ omis. cod. 4 ἄπας <sic> cod., τόπους ex sqq. scripsi, ἀπάρας coni. Kroll. 5 ποτ' cod., πόλεως scripsi. 8 αἰγιάλοις παραθαλκεσίαν cod., αἰγιαλοῖς παραθαλασσίοις scripsi. In καὶ παρὰ θάλασσαν in archetypo corr. erat [Wünsch]. 9 ἐν τῷ ὑπογείῳ supplevi. 10 δέσμοις ἢ ἐργαστηρίοις coni Kroll. 11 ὑπόγειον cod., ειος scripsi.

F. 125 (262v). πζ'. Καταρχὴ ἀναγκαία εἰς ἣν ἀπέτυχον πλανηθείς, καὶ μετὰ ταῦτα εὑρηκὼς τὴν αἰτίαν, ἐθαύμασα τὴν ἐνέργειαν· περὶ γραμμάτων ἐνεχθέντων.

Ετους Διοκλητιανοῦ σδ', μηνὶ Θὼθ ιζ', ἡμέρᾳ Κρόνου, ὥρᾳ α', ἠνέχθησαν γράμματά τινι λυπηρὰ ἔχοντα πάντα παρὰ πρόθεσιν τοῦ δεξαμένου. εὑρέθη δὲ ἡ καταρχὴ οὕτως· ☉ ♍ μοί(ρᾳ) ι', ☾ ♎ δ', ♄ ♐ ε' νς', ♃ ♎ ζ' νε', ♂ ♑ η', ♀ ♌ η', ☿ ♍ κε', ὡροσκόπος ♎ α', μεσουράνημα ♋ α', κλῆρος τύχης ♎ κε'. ☊ ♏ β' κδ'. εὗρον ἐγὼ τὸν μὲν Δία μοιρικῶς ὡρονομοῦντα. καὶ τὴν Ἀφροδίτην κατὰ τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης καὶ τοῦ Διὸς καὶ τοῦ κλήρου τῆς τύχης ἀγαθοδαιμονοῦσαν καὶ ἑῴαν ἀνατολικήν, καὶ τοῖς ἀριθμοῖς προσθετικήν, καὶ δεκατεύουσαν τὴν τριταίαν τῆς Σελήνης, καὶ τὸ δωδεκατημόριον αὐτῆς Σκορπίον τετυχηκότα καὶ τὸν διέποντα τοῦ ὡροσκόπου τὸν Δία κατὰ κάθετον ὡρονομοῦντα. εἶπον διὰ ταῦτα συναρπαγῇ καλὴν ἔχειν φάσιν τὰ γράμματα, ἃ δὴ τὰ ἐναντία περιεῖχον· σκοπήσας γὰρ μετὰ ταῦτα ἀκριβῶς τὴν καταρχήν, εὗρον τὴν μὲν Ἀφροδίτην, τὸν οἰκοδεσπότην τῆς καταρχῆς, μηδένα λόγον ἔχουσαν πρὸς τὸν ὡροσκόπον καὶ τὴν

3 an ἐνάργειαν? 4 = 5 Sept. 488 p. C. n. 6-8 Signis astrologicis, quae quidem typographus in loculamentis habebat, usus sum ut exemplum darem notationis codicis ubi verba ὡροσκόπος, μεσουράνημα item non verbis sed signis expressa sunt. 15 παρεῖχον cod., corr. m 1 in marg.

Σελήνην καὶ τὸν Δία καὶ τὸν κλῆρον τῆς τύχης διὰ τὸ μεσεμβολεῖσθαι αὐτὴν ὑπὸ Διός, καθά φησι Δωρόθεος. εὗρον δὲ τὸν Ἄρεα καὶ τὸν Κρόνον, ἐμπεριέχοντας τὸν Ἑρμῆν καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην καὶ τὸν Δία καθὰ διδάσκει Ἀντίγονος· ἀλλὰ δὴ καὶ τὸ μεσουράνημα διεμέτρει Ἄρης παραιρετικὸς ὤν· ἀναγκαῖον οὖν ἐστιν ἐπὶ πάσῃ καταρχῇ ζητεῖν καὶ τὰς μεσεμβολίας Ἡλίου καὶ τῶν ἀστέρων, καὶ τὰς ἐμπεριοχὰς τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης καὶ τοῦ ἀστέρος τοῦ λόγον ἔχοντος πρὸς τὴν οἰκοδεσποτείαν τῆς καταρχῆς. οὐ γὰρ μόνον ὁ ὡροσκόπος καὶ ἡ Σελήνη ἐμπεριείχοντο ὑπὸ Κρόνου καὶ Ἄρεως, ἀλλὰ καὶ ἡ Ἀφροδίτη ἡ τὸν πλείονα λόγον ἔχουσα πρὸς τὴν καταρχήν· Ἄρης μὲν γὰρ διεμέτρει τὸν Καρκίνον καὶ Κρόνος ἐτετραγώνιζε τὴν Παρθένον· εὑρέθησαν οὖν πάντες σχεδὸν οἱ ἀστέρες ἐμπεριεχόμενοι ὑπὸ τῶν δυοῖν κακοποιῶν· τούτου τοῦ σχήματος μέμνηται Ἀντίγονος ἐν τῇ ϛ' γενέσει τοῦ γ' βιβλίου. εἰ δὲ καὶ τὸ κατ' εἶδος ζητῇ, ὅρα τὸν Ἑρμῆν βλαπτόμενον ὑπὸ Κρόνου καὶ ἐν τῷ δωδεκάτῳ. [F. C.]

5 παραιρητ' cod., corr. Kroll. 6 ἐπὶ (dubium) πάσα καταρχὴ cod. 15 ιβ' cod. i. e. in loco XII collocatum ab horoscopo [Kroll].

F. 126r (263). πη'. Καταρχὴ Λεοντίου στεφθέντος ἐν Ἀντιοχείᾳ [1].

Οὗτος ἀπὸ δύο μαθηματικῶν λαβὼν καταρχὴν ἐστέφθη καὶ εὐθέως ἐξέπεσε τῆς βασιλείας καὶ τῆς τύχης. ἔτους Διοκλητιανοῦ **, μηνὶ Ἐπιφὶ κδ', ὥρας ἀρχομένης α', Ἥλιος Καρκίνου βϛ', Σελήνη Καρκίνου ζ', Κρόνος Σκορπίου ιε', Ζεὺς Καρκίνου ε', Ἄρης Καρκίνου κ', Ἀφροδίτη Διδύμων κζ', Ἑρμῆς Λέοντος ιθ', ὡροσκόπος Καρκίνου κγ', μεσουράνημα Κριοῦ **, καταβιβάζων Αἰγοκέρωτος ιδ', σύνοδος ἐν Καρκίνῳ, κλῆρος τύχης Σκορπίου ιζ', δαίμων Κριῷ, ὕψωμα γεννήσεως Κριῷ. πολὺ ἐφάντασε τοὺς τὴν καταρχὴν δεδωκότας ἡ τοῦ Ἡλίου καὶ τοῦ Διὸς καὶ τοῦ Ἄρεος ὡροσκοπία καὶ <ἡ> ἐπαναφορὰ τοῦ Ἑρμοῦ καὶ τὸ ἀγαθοτυχεῖν τὴν Σελήνην| πρὸς Κρόνον καὶ Δία. ἀλλ' οὐ προσέσχον πρῶτον τῷ πολεύοντι καὶ διέποντι Ἑρμῇ εἰς πάθος ἐμπεπτωκότι· τὴν γὰρ μεγίστην <ἀπόστασιν> ἀπεῖχε τοῦ Ἡλίου, ὃ καὶ βιοθάνατον ἀποτελεῖ, καὶ ὑπὸ Κρόνου μόνου ἐθεωρεῖτο· οὔτε γὰρ Ἀφροδίτη μόνη ἠδύνατο θεραπεῦσαι τὸ πάθος· ἐπεμβόλει γὰρ αὐτῇ ὁ Ἥλιος· οὔτε πάλιν

3 numerum omis. cod. 7 num. om. cod. 10 ἡ supplevi. 13 ἀπόστασιν omiss. in Ang. suppl. Flor. 14 μόνος cod., corr. Kroll. 16 αὐτὴν cod.

[1] Leontium qui Zenone imperatore regnum affectavit et anno 483, ut videtur, non Antiochiae sed Tarsi coronatus est, scimus ad seditionem movendam prophetiis Pamprepii senatoris impulsum esse, quem μαγγανείας et τερατολογίας insimulant christiani historiae scriptores (Theophan., p. 128, 10, 130, 3, ed. de Boor; Damascius, *Vita Isidori*, § 110, ed. Westerman; Suidas s. v. Παμπρέπιος). Cf. *Rev. instr. publ.*, l. c., p. 10 s.

ἐσκόπησαν τὴν Σελήνην κυρίαν οὖσαν τοῦ Ἡλίου καὶ τοῦ ὡροσκόπου καὶ Διὸς καὶ Ἄρεος καὶ τῆς συνόδου ταπεινουμένην καὶ κακοδαιμονοῦσαν. ἵνα δὲ μηδὲν τούτων τῶν σχημάτων ὑπῆρχεν, οὐκ ἤρκει πρὸς καθαίρεσιν τὸ τὸν Ἥλιον καὶ τὸν ὡροσκόπον καὶ τὸν Δία <ἅμα> τετυχηκέναι· πῶς δὲ παρῆλθεν αὐτοὺς καὶ τὸ κεφάλαιον Δωροθέου ἔνθα λέγει·

Δέρκεο δ' Ἠέλιόν τε μέγαν κραιπνήν τε Σελήνην
ἠδ' οἴκων βασιλῆας ἐν οἷς δύο φῶτα βέβηκεν,
ὡρονόμον δ' ἐπὶ τοῖσι, καὶ αἰθέρος ἀκροτάτοιο
ζῷον ὅ τι ψαύει μέσον οὐρανὸν ἀμφιπολεῦον
καὶ Μήνη τίνα † τούτων ἔχῃ τόπον, ἠδὲ τίς αὐτῆς
ἐστὶν ἄναξ, ἣν οὗτος ἀποκλιμάτεσσιν ἐνείη·
αὕτη γὰρ κέντροισιν ἐνὶ πρώτοισι μὲν ἔργον
εὐαντὲς λαμπρόν τε φανήσεται, αὐτὰρ ἔπειτα
ψεύσεται *** τὸ δέ οἱ τέλος ἐξαπολεῖται. [F. C.]

3 ἅμα suppl. Kroll, fuit fort. <συν>τετυχηκέναι. 4 αὐτὸν 6 βεβήκασι cod. 7 ἀκροτάτοις cod., corr. Kroll. 8 ψαύσει μεσουρὰν cod. 9 καὶ μὴν ἥτινα cod. τούτων corruptum. 11 αὕτη τε cod. 13 lacunam significavi.

F. 127 (275v). ρκγ'. Περὶ τοῦ ποιῆσαι ἄσπρα γράμματα.

Λαβὼν ᾠοῦ τὸ λεπτὸν λείωσον μετὰ ὄξους καὶ γράψον ἐν μυστηρίῳ ὅ τι βουλει καὶ ὅτε θέλεις δῆλα ποιῆσαι αὐτά, λαβὼν σπόγγον μεθ' ὕδατος ἀποπλῦνον αὐτὰ καὶ ἐπιρρᾶνον ἐπάνω αὐτῶν καλάμινθον τετριμμένον καὶ τότε ἀναγνωσθήσονται. [F. C.]

2 ὀός cod. λεπτὸν] l. λευκόν?

F. 135 (286). ρλδ'. Ἀντιόχου[1] ὅσα οἱ ἀστέρες ἐν τοῖς τόποις τοῦ θέματος τυχόντες σημαίνουσιν.

Σελήνη ὡρονομοῦσα.

Ἤδη μὲν πρῶτον μερόπων πέλεν ὡρονομῆος·
ἣν δὲ Σεληναίη *** τοῦδ' ἄγχις ὁδεύσῃ,
νύκτωρ μὲν μέγα σῆμα κατορθοῦται βιότοιο·
πλοῦτον δ' ἑξείης δῶκεν καὶ κέρδεα πολλά,
ἠδὲ χρόνους ζωῆς πολυγηθέας· ἣν δέ μιν ἠώς
χρυσοφαὴς ἐπίδῃ, τότ' ἐναντία σήματα πέμπει·
ἣν δὲ κακοὶ συνίδωσιν ἐποπτεύοντες ἔπειτα

4 ὡρονομῆκος cod., corr. Kroll. 5 ante τοῦδε (sic cod.) lacunam signavi. 6 βιοτ. κατ. cod., corr. Kroll. 7 πλούτων δ' ἐξίης δῶκε cod. 9 ἐπὶ δῆτα δ' cod, corr. Boll. 10 συνοίσωσιν cod.

---

[1] De Antiocho Atheniensi cf. Riess in Pauly-Wissowa, *Realenc.*, t. I, p. 2494 et cod. 12 f. 84 ss.

πλεύνασιν ἔν τε κακοῖς πορσύνατο καὶ χρόνον ὠκύν·
ζωῆς σῆμα δύνει καὶ ἄγρια πήματ' ἔδωκεν.

Ἥλιος ὡρονομῶν.

Ἥέλιος δ' ἀκτῖνι θοῇ περιφέγγεϊ † διήκων
ὥρης ἐμβεβαὼς τάχος ἤματα καλὰ δίδωσι,
πολλοῖς φαινομένοισι τε ἐν ἀρσενικοῖσι μάλιστα
ὀφθεὶς ζωιδίοισιν, ἐσήμανε πλοῦτον ἔχοντας
καὶ χρόνον ἐν ζωοῖς ἵλεον πολύν· ἢν δὲ κακοῖσι
σύμμιξιν δόξας μείων πάλιν, πλὴν καλός ἐστι
καὶ πατρὶ καὶ βιότῳ καὶ ἀτάσθαλα πήματα λύει.

Κρόνος ὡρονομῶν.

Ἦν δὲ Κρόνος λεύσσῃ κέντρον κατέχων κατὰ μοῖραν
ὡρονομοῦν, κακός ἐστιν, ἀχρειότερος δ' ἐπὶ νυκτί,
ὀρφανίας, ἄτας, κακοέργετα πήματα πέμπει
† καὶ κακώσεων πολύπλαγκτον ὑπερμύρασ(ιν?) δαμέντων
νούσοις τε φθιμένοις τ' ἔβαλεν πολεμήϊος ἀστήρ·
δεινὴ γὰρ νιφαδέσσι Κρόνου † πεφάτισται πορεία.

Ζεὺς ὡρονομῶν.

Ζεύς τε κατηγάθεος πολὺ φέρτερος ὡρονομεύων
ἤματι δὴ πολὺ κρεῖσσον· ἐπὴν δ' ἄρα νυκτὶ ὁδεύσῃ,
οὐ κακὸς οὐδὲ μὲν ἐσθλὸς † ἐπίφανε φαιδρότατον φῶς
μεσσοτύχους ὀλίγοισι χρόνοις εὐσχήμονας ἄνδρας
γήραϊ δ' ἔκπτωσιν [νυκτὸς] † δοίη νύκτιος ἀστήρ.
ἢν δ' ἄρα φαιδρὸν Ὄλυμπον ἀγαλλόμενος διοδεύσῃ,
εὐτυχέας, προὔχοντας ἀεὶ, πατρίδος δὲ μάλιστα·
ἢν δὲ κακὸς τούτῳ κατ' ἐπέμβασιν ἄγριος ἔλθῃ,
δεινοῖς ἐξολέσειε κακοῖς πολυάλγεα πέμπων.

Ἄρης ὡρονομῶν.

Ἄρης δ' ὡρονόμου κέντρον κατέχων τὸ μέγιστον
ἄλκιμα θωρηχθεὶς δῶκεν χρυσοέργεα δῶρα,
† πλοῦτόν τε μεγάλυνεν ἀνδράσιν οἱ δ' ἄφαρ
† κύριον καὶ ψυχῆς πολυάλγεα πήματα τ' οὐ λύων·
νυκτερινὸς πολὺ κρεῖσσον ἐπ' ἀρσενικοῖσι φανείη.

1 πλέονεσιν cod., corr. Kroll. 2 ζωήσημα δύνε cod. 5 ἐμβεβὰς cod. 6 φαινομένοισι τέκεν ἀρσενικοῖοι cod. 7 ἐν, posteaque compendium quod difficile explicatur, cod. ἐσήμανὲ dub. scripsi. 8 ζωοῖσι τέλος cod. τελεῖν coni. Kroll. 9 τεύξας μειῶν coni. Kroll. 10 βροτῶ cod., corr. Kroll. 12 λευσ' κεντρ' κατέχοντα μοι' cod., κατὰ μοῖραν "partiliter" corr. Koll. 13 ὡρονομῶν cod., corr. Kroll. χρειότερος cod. 14 κακοεἱργετα cod., corr. Kroll. 15 ὑπὸ μοιραῖσι coni. Kroll. 16 πολεμήτος cod. 17 νειφάδεσι cod., sc. procellis infortuniorum [Kroll], cf. tamen p. 110, v. 18. 20 ἥματα cod. 22 μεσοτύχους cod., corr. Kroll. 21 ἔφηνεν coni. 23 δώη' νυκτὸς cod. 27 δεινός cod. ἐξολέσει coni. Kroll. 29 ὡρονόμος cod. κατέχων] κατύχων cod. 31 ἄραφ cod. ἐοὒτ'ύων] τεύχων coni. Kroll. 32 ἐπ] εἰ con. Kroll.

Ἀφροδίτη ὡρονομοῦσα.

Ἦν δὲ θεὰ βασίλεια κόρη βαθυκύμονος ἅλμης
ὡρονομῇ κατὰ νύκτα καλὴ πολυγήθεσιν Ὥραις
εὐχαρίτας ἀγαθοῖσιν ἀγαλλομένους κτέατοισιν.
. . . .

Ἑρμῆς ὡρονομῶν.

Ἑρμείας δὲ δρόμοις ἱεροῖς ταχὺς ὡρονομήσας
ἠμάτιος Μουσῶν δωρήσατο θέσπιν ἀοιδήν.

Ἥλιος ἐν βίου τόπῳ.

Ἠέλιος βιότοιο δρόμον καὶ μοίραν ἐλαύνων
τεύχει ἐνὶ μεσάτοισι χρόνοις βιοτέρμονα πλοῦτον.

Σελήνη ἐν βίου τόπῳ.

Ἡ δὲ Σεληναίη βιότου δρόμον ἀμφιέπουσα
θῆκε καλοὺς καὶ μᾶλλον ἐπὴν νυκτὸς διοδεύσῃ.

Κρόνος ἐν βίου τόπῳ.

Εἰ δὲ Κρόνος βιότοιο μόλῃ πρὸς μοίραν ἀλυκτὸς
ἔκπτωσιν βιότοιο τελεῖ καὶ τέρμα κάκιστον,
καὶ νιφάδας, πράξεις τε κακὰς καὶ ἀκερδέα δῆριν.

Ἄρης ἐν βίου τόπῳ.

Ἦν δ' Ἄρης εἰς μοῖραν ἐπεμβαίνῃ βιότοιο
ἄλγεσι καὶ στοναχαῖς καὶ πήμασι καὶ κακότησιν
. . . .

Ζεὺς ἐν βίου τόπῳ.

Ζεὺς δὲ φαεννὸς ἐὰν βιότου πρὸς μοίραν ὁδεύσῃ
ἔστι καλὸς κατὰ πάντα καὶ ἐσθλὰ δίδωσι μέγιστα.

Ἑρμῆς ἐν βίου τόπῳ.

Εἰ δ' Ἑρμῆς πτερόεις μοίραν βιότοιο πορεύ<σ>ῃ,
πλοῦτόν τε ζάθεον δωρήμασι πουλὺν ἀγείρει.

Ἀφροδίτη ἐν βίου τόπῳ.

Εἰ δὲ θεὰ βασίλεια φιλομμειδὴς Ἀφροδίτη
. . . .

Σελήνη ἐν τῷ τῶν ἀδελφῶν τόπῳ.

† Εἰ δὲ Σεληναίη μορίῳ τριτάτῳ προφανείη,
ἐσθλοὺς, εὐβιότους, λήγουσα δὲ μεῖον ἐλαύνει.

2 βαθυκήμονος cod. 3 ὡρονόμος cod., corr. Kroll. 4 εὐχαρίτους cod. 7 τάχος cod, corr. Boll. 8 cf. Odyss. 8, 498. 14 μῆτε cod. θῆκε corr. Boll., cf. Manetho, III, 123 sqq. 18 ἀεικερδέα δήρην cod. 19 ἔτι χεῖρον ἐπεμβαίνων ἑοῖοισιν cod. 24 βιώτου cod. ὁδεύων cod. 27 μοίραν] μοι cod. πορεύῃ cod., περήσῃ coni. Kroll. 28 ἠγάθεον cod., corr. Kroll. ἐγείρει cod. An recte? 30 φιλομείδης cod. 31 post Ἀφροδίτη spatium vacuum cod. 33 μόριον τριτταῖον cod. προφανεῖ cod., corr. Kroll. 34 καὶ βιότου cod., corr. Kroll.

῞Ηλιος ἐν ἀδελφῶν τόπῳ.
᾿Ηέλιος δὲ δρόμοισι μολὼν † ὅτε φαίδιμος ἀστήρ
οὔτε καλὸν νεύσειε † τεύχος πάλιν οὔτε χερεῖον.

Κρόνος ἐν ἀδελφῶν τόπῳ.
῏Ην δὲ Κρόνος νεύσειε τρίτον δρόμον αἶψα γενέσθαι
πολλαῖσιν κακότησιν ἀδελφοῖσι <ν προ>κομίζει.

῎Αρης ἐν ἀδελφῶν τόπῳ.
῎Αρης δ᾿ ἔνθα τελῶν πολεμήτορα δῶκεν ἀδελφόν,
αἵμασι δ᾿ ἤμβλυνεν φοβερὸν δέμας ἠδὲ σιδήρῳ.

Ζεὺς ἐν ἀδελφῶν τόπῳ.
Ζεύς δε μεγασθενέας κλήρους δωρήσατο πλείστους,
κληρονόμων ἀγαθῶν εὐδαίμονας· ἐκ νεκύων δὲ
ἀφνειοὺς τελέθει καὶ ἀεὶ μέγα κυδαίνοντας.

<῾Ερμῆς ἐν ἀδελφῶν τόπῳ.>
῾Ερμείας δὲ ἄναξ δῶκεν πολυέργεα δῶρα,
Μουσῶν καὶ Χαρίτων ἐξαίρετα τεκταίνοντας.

᾿Αφροδίτη ἐν ἀδελφῶν τόπῳ.
῾Η δ᾿ ἄρα Κυπρογένεια θεὰ ποίησεν ἀοιδούς,
ἐν φιλίαις τε μάλιστα προκόπτοντας βιότοιο.

Σελήνη ἐν γονέων τόπῳ.
Εἰ δὲ Σεληναίη χαριλάμπετις ἔνθα φανείη
καὶ μεγάλου κόσμοιο τὸν ἠμάτιον δρόμον ἕρπει,
φέρτερόν ἐστι τὸ σῆμα † καὶ θίει νυκτός δὲ κακίστη·
ἦν δ᾿ ἄλλως ὀλοοί τε προσαυγάζωσι μολόντες,
ἔστι χερειότερον, τοκέων γὰρ ἄγει βαρύτητας.

῞Ηλιος ἐν γονέων τόπῳ.
᾿Ηέλιος δὲ μολὼν πατρὶ φέρτερος, ἡ δὲ Σελήνη
μητρὶ φίλη καὶ πάμπαν ὅποι κακὸς οὔ ποτιφαίνοι.

Κρόνος ἐν γονέων τόπῳ.
Εἰ δὲ Κρόνος βαίνοι καὶ μοῖραν ἔχοιτο τοκήων,
οὐκ ἀγαθὸς Φαίνων, ἐπεί οἱ κακὰ πολλὰ προπέμπει,
ἠδὲ σίνη, νούσους στυγερὰς καὶ ἀεικέα λοιγόν,
ὀρφανίσας φθείρει δὲ πατρῴϊα καὶ μετέπειτα.

Ζεὺς ἐν γονέων τόπῳ.
῾Ηνίκα δὴ Φαέθων τέτρατον δρόμον ἡνιοχεύσῃ,

3 νεύσειεν τεύχος cod. fort. τέκος : τέλος Kroll. 5 πρῶτον cod., corr. Kroll. 6 post ἀδελφοῖσι. ἐν προ addidi : πολλαῖς ἐν κακότησιν ἀδελφοὺς σεῖο νόμιζε coni. Kroll. 9 αἵματι coni. Kroll. ἤμβλυνε cod. 11 δὲ | τε cod. μεγάσθενετ' cod. 14 titulum supplevi. 15 δ' cod. πολύεργα cod. 16 ἐξερατὰ cod., corr. Boll. 23 καὶ θιει] καὶ ἀεὶ coni. 24 προσαυγάζουσι cod. 28 ὅτοι κακὸς οὔ ποτε φαίνοι cod., corr. Kroll. 30 ἕλοιτο coni. Kroll. 32 νόσους cod. ἀείκελα λόγον cod.

εὐδήλους τοκέας καὶ εὐπρεπέας <τε> φίλους τε·
πλούτου καὶ καρπῶν δωτὴρ μέγας οὐράνιος Ζεύς.
† ἐσχατιὴ δ' ἐπὶ τοῖς πολὺ φερτάτη δ' ἀκόρητον
πλοῦτον ὑπερδώησι καὶ ἐκ χθονὸς εὐρυχόροιο
χρυσὸν ἄγαν ἐριτίμον ἀολλέα γήραϊ τιμάς
δώη Ζεὺς ἀγαθὸς πολυκέρδεα τέρματι μοιρῶν
κληρονόμους σφετέρων ἠδ' ἀλλοτρίων προβεβῶτας.

Ἄρης ἐν γονέων τόπῳ.

Ἢν δ' Ἄρης νεύσῃ καὶ ἐς δρόμον ὠκὺν ἐλαύνῃ,
ὠκυμόρους δειναῖσι νόσοις σπανίῃ τε τοκήων
ἠδὲ σιδηρείαισι τομαῖς καὶ πήμασι δεινοῖς
αἵμασι καὶ νούσοις στυγεροῖς πολυάλγεα πέμπει,
σώματι δειλαίῳ κακὸν ἴκτερον ὠχροσύνην τε,
ἔν τε βίῳ μόχθους παναεικέας ἀλγύνοντας.

Ἀφροδίτη ἐν γονέων τόπῳ.

Φωσφόρον ἣν καλέουσι φιλομμειδὴς Ἀφροδίτη
ἀστὴρ οὐράνιος, μεγάλης ἐξαίρετος ἀλκῆς
ἐς τοκέας τε φίλος τε καὶ εὔδιος, εἰς ἀλόχους δὲ
ἔστι χερειότερος πολυαλγέας κύδιμος ἀστήρ,
ἐν δήμοις προφανεῖς τε ποιεῖ καὶ δόξαν ἐπ' αὐτοῖς
ἔκδημόν τε τίθησι καὶ ὄλβιον ὃν προσέειπε·
δεινὰ φέρει πινυτοῖς ἀλόχους φθείρουσα λέχεσσιν.

Ἑρμῆς ἐν γονέων τόπῳ.

Ἑρμείας βαίνων <γονέων> τόπον οὐ κακός ἐστι,
θαρσύνων δὲ τέχναισι σοφαῖς ποικίλματα ποιεῖ,
δόξαις ἠδὲ τέχναις ἐπισήμους κάλλεϊ χειρῶν,
Μουσῶν πλασματοεργέσιν ἐν τέχναισι φαεινούς.

Σελήνη ἐν τέκνων τόπῳ.

Εἰ δὲ Σεληναίην χρυσήνιον αὖθις ἀθρήσῃς
ἐκ τεκεῶν φιλοπαῖδ(α) φίλων δρόμον ἀμφικρατοῦσαν,
δῶκε μὲν ὀλβήεντα δόμον γενεήν τε φυλάξαι
παίδων ἠϊθέων περικαλλέα κόσμον ἐχόντων,
ἐν δὲ χρόνοις πολὺν ὄλβον, ἐν εὐτέκνοις δὲ μάλιστα
καὶ Ζωῆς ἐρίτιμον ἔχειν αὐξητὸν ἀριθμόν.

1 τε add. Kroll. 4 πλούτων cod. ὑπεκδώησι con. Kroll. ἐκ χθονὸς corr. Kroll: ἐχθρὸς ὃς cod. 5 ἐρυτιμον (ut infra 144) cod., cf. Iliad., IX, 126, 268. 7 τε ἀλλοτριῶν cod. 12 νόσοις cod. 13 σώματι διλάω κακῶν ἰκτερινῶ χρουσίην τε cod. 14 ἀλγύνοντες cod. 16 φιλομειδὴς cod. 19 χρειότερον πολύαλγ' cod., corr. Kroll. 21 καὶ ὀλαίον ὡς cod., corr. Kroll. 22 λέχεσιν cod. 24 γονέων suppl. 26 ἐπισήμοις κάλλεα cod., corr. Kroll. 27 μουσ' πιλασματοεργέσιν ἐν τέχνεσι φανεῖ cod., corr. Kroll. 29 σεληναίη χρυσήνιος... ἀθρήσῃ cod., corr. Kroll. 30 δρόμον cod., corr. Kroll. 32 ἔχοντας coni. Kroll. 33 πολύολβον cod. ἐνευτεκνῆ cod. 34 ἐρυτίμον cod.

Ἥλιος ἐν τέκνων τόπῳ.
Ἠέλιος δ' ἀκτῖνι θοῇ περὶ παῖδας ἄχρηστος
. . . .
ἔστι τρίγωνος ἐών· μέγα δ' ἄντιος ἐστὶν Ἀρήει
ἐν φιλίαις δὲ καλὸς καὶ ἐν ἔργοισιν καὶ ἐν ὄλβῳ. [A. O.]

2 cf. Firmic. 133, 19 [Kroll] 3 lacun. signific. 4 ἔστι (sic) τι τρίγ. cod. μετὰ cod., corr. Kroll. καλῶς cod., corr. Kroll. ἐνεργοῦσι cod.

F. 136v (288v). ρλε'. <'Απο>τελέσματα τῆς τῶν ἀπλανῶν ἀστέρων ἐποχῆς [1].

Ἐὰν οὖν εὕρῃς ἐπὶ γενέσει τὴν Σελήνην παραβάλλουσαν ἑνὶ τῶν λαμπρῶν καὶ ἐπισήμων ἀστέρων, τουτέστι περὶ τὰς ἰσομοιρίας αὐτῶν οὖσαν, καὶ μάλιστα ἐὰν κατὰ τὸν ἄνεμον τὸν αὐτὸν τρέχῃ ἡ Σελήνη ὅνπερ καὶ ὁ λαμπρὸς ἀστήρ, ὃς σύνεγγύς ἐστι τῶν μοιρῶν αὐτῆς [τῆς Σελήνης], μεγάλας καὶ λαμπρὰς καὶ ἐπιφανεστάτας καὶ εὐπόρους ποιοῦσι τὰς γενέσεις. ὁμοίως καὶ ἐὰν ὡροσκοπῇ τις τῶν λαμπρῶν ἀστέρων ἢ ἀνατέλλῃ κατὰ τὴν γεννητικὴν ὥραν, ἢ πάλιν κατὰ κάθετον ἐν τῷ μεσουρανήματι, ἢ καὶ ἐπὶ τῶν ἄλλων κέντρων εὑρεθῇ, ἐνδόξους καὶ ἀρχικοὺς καὶ πολυπράκτους, καὶ πολυκτήμονας ἀποτελεῖ καὶ πόλεσιν ἢ χώραις γνωστοὺς ἢ φοβερούς, καὶ μάλιστα ἐν ἐκείναις ταῖς χώραις δοξάζονται οἱ γεννώμενοι ἐν αἷς καὶ ἐπίκεινται ἤτοι παρανατέλλουσιν οἱ λαμπροὶ τῶν ἀστέρων, ὅτε τις γεννᾶται, καθὼς ὑποτέτακται ἐν τῷ πίνακι· ὡροσκοποῦντες οὖν ἢ μεσουρανοῦντες σχεδὸν ἀπὸ μὲν νέας ἡλικίας καὶ ἐν ταῖς ἰδίαις πόλεσιν τὰς εὐτυχίας παρέχονται· ἐὰν δὲ ἐν τῷ δυτικῷ κέντρῳ εὑρεθῇ τις τῶν ἀστέρων τῶν λαμπρῶν κατὰ τὴν γεννητικὴν ὥραν, ἐπὶ τῆς ξένης μάλιστα καὶ περὶ τὴν μέσην ἡλικίαν τὴν εὐδαιμονίαν ἀποτελεῖ, καὶ γάμον λαμπρὸν καὶ πλουσίων δίδωσι κληρονομίαν, διαφορὰς <δὲ> διὰ προφάσεων μᾶλλον γυναικείων προσώπων· ἐὰν δὲ ἐν τῷ ὑπογείῳ κέντρῳ εὑρεθῇ τις τῶν λαμπρῶν ἀστέρων κατὰ

1 Ἀπὸ omiss. in textu add. ex tabula codicis. 3 εὑρὼν cod., corr. Kroll. 6-7 τ. Σελήνης seclusi. 11 ἀποτελῇ cod. 15 πίνακι] cf. infra v. 53. 15 Verbo νέας f. 137 et prioris manus scriptura desinit. Sequentia ff. 137-148 ab altero librario, qui saec. XV chartas exesas transcripsisse videtur, exarata sunt. 16 ἡλικίας suppl. in marg. δὲ] τε cod. cf. v. 21. 20 διὰ φόρους cod. δὲ add.; f. 140v legitur ἀπὸ γυναικείων προσώπων μεγάλως εὐτυχοῦντας.

[1] Quamquam titulo auctoris nomen non additum est, tamen ex argumento apparet haec non, ut olim credidi, ipsius Palchi esse sed ab eo excerpta esse ex scriptore ignoto saeculo circiter antiquiore. Aegyptius erat is (cf. *supra*, p. 80, v. 10) sed Romae ut videtur (p. 117, v. 10) librum astrologicum composuit anno 379 p. C. n. (p. 115, v. 4) quo tempore deorum cultus nondum exstinctus erat (al. 2, v. 10). — Quae si recte statuimus, testimonium de veteribus astrologis iam (p. 80) prolatum non exeuntis est quintisae culi sed anni supra scripti.

τὴν ἀποκυητικὴν ὥραν, ἐπὶ τοῦ γήρως τὰς εὐτυχίας καὶ τὰς εὐδαιμονίας παρέχεται τῷ γεννωμένῳ, καὶ ἀπὸ παραθητικῶν μεγάλων εὐτυχοῦσιν — ὁ γὰρ τόπος ἀφανής ἐστι — καὶ οἱ θάνατοι δὲ αὐτῶν ἐπίσημοι καὶ πολύγνωστοι γίνονται· ἀπὸ γὰρ τούτου τοῦ τόπου καὶ τὴν μετὰ θάνατον γένεσιν τοῦ σώματος καταλαμβανόμεθα. καὶ ταῦτα μὲν εἰς τὸ περὶ τύχης ἀξιωματικῆς εἴπομεν. καθόλου μὲν γὰρ πάντων ἀνθρώπων ὃς <ἂν> ἐν ἀνατολῇ λαμπροῦ ἀστέρος γεννηθῇ ἢ καὶ ἐπικέντρου τινὸς ὄντος καὶ τῆς σελήνης παραβαλλούσης, ὡς προείπομεν, ἑνί τινι τῶν λαμπρῶν καὶ ἐπισήμων ἀστέρων κατὰ τὴν ἀποκυητικὴν ὥραν, λαμπρὸν καὶ περίβλεπτον βίον ἕξει.

Μεγίστης δὲ οὔσης καὶ θαυμασιωτάτης καὶ πολυτρόπου τῆς φυσικῆς αὐτῶν ἐνεργείας καὶ τῆς παρὰ τῶν τόπων ἀποτελουμένης διαφορᾶς, ἀναγκαίως ἐκτιθέμεθα τὰς τετηρημένας ἀπὸ τῶν προγενεστέρων ἐπ' αὐτῶν ἰδιοκρασίας· καθ' ἣν γὰρ ἕκαστος ἀστὴρ τῶν ἀπλανῶν ἔχει συνοικείωσιν πρὸς τοὺς πλάνητας καὶ πρὸς τὴν ὁμοιότροπον αὐτῶν κρᾶσιν, τὰ αὐτὰ καὶ δύναται καὶ ἀποτελεῖ ἕκαστος τῶν πλανητῶν, καθῶς φησὶ καὶ αὐτὸς ὁ Συφεύς· οὐ μόνον γὰρ τὴν τῶν ε' αστέρων καὶ Ἡλίου καὶ Σελήνης μῖξιν πρὸς ἀλλήλους δεῖ σκοπεῖν, ἀλλὰ καὶ πρὸς τοὺς τῆς αὐτῆς φύσεως κεκοινωνηκότας τῶν ἀπλανῶν κατὰ τὰς τετηρημένας καὶ ἀποδεδειγμένας αὐτῶν καὶ ἐπιγεγραμμένας ἐν τῷ πίνακι συνοικειώσεις πρὸς τοὺς πλανήτας, καθάπερ τῶν ποιοτήτων αὐτῶν τὰ αὐτὰ δυναμένων καὶ ἀποτελουσῶν. ταύτην δὲ τὴν ἀνάγνωσιν εὕρομεν καὶ παρ' ἄλλοις ὀλίγοις παντάπασι τῶν ἀρχαίων τὴν περὶ τῶν ἀπλανῶν ἀστέρων, μάλιστα δὲ παρὰ τοῖς φιλοσοφήσασι περὶ τοῦτο τὸ μέρος τῆς προγνώσεως καὶ περὶ τὴν θεότητα τῶν ἀριθμῶν † ἐπιστήμων, οἵτινες τῶν παλαιῶν σποράδην μᾶλλον καὶ δυσερμήνευτον ἐξέθεντο τὴν τῶν φαινομένων γνῶσιν καὶ ποιότητα· ἡμεῖς δὲ μνήμην † ἑαυτοῖς βουλόμενοι καταλιπεῖν τοῖς ἀξίοις τῶν ἀστέρων μετηγάγομεν ἐκ τοῦ ἀστρονόμου μόνου ὅσα χρήσιμα ἐξέθετο [ὁ Πτολεμαῖος]<ἐν> τῇ ἀστρονομικῇ τέχνῃ, καὶ ἐφιλοκαλέσαμεν καὶ διετυπώσαμεν πρῶτοι καινοτέραν καὶ εὐεπίγνωστον διαγραφὴν πίνακος, πᾶσαν σοφίαν καὶ γνῶσιν τῶν οὐρανίων, οὕτως· ***

1 ἀποκυκτικήν cod. γήρους cod. 2 γενωμένῳ cod. παραθητικῶν corruptum. An παραθηκῶν μεγάλως? 6 καθόλων cod. 7 ὃς ἂν] ὁ cod. λαμπρὸς ἀστὴρ cod. ἐπὶ κέντρου cod. 8 ἑνὶ corr. Kroll : ἓν cod. 12 περὶ cod., corr. Kroll. 12 ἐνεργίας cod. 14 αὐτὴν cod., corr. Kroll. ἰδιοπρασίαν cod., cf. 16. 17 συφεὺς nomen ignotum cf. p. 80, v. 9 Ἐφῆς 22 ἀπὸ τελουσῶν cod. ταῦτα cod. Malim διάγνωσιν 24 φιλοσοφίσασι cod. τοῦτο] ο in ras. τῷ μέρει cod., τὸ μέρος corr. Kroll. 25 ἀριθμῶν] μ superscr. Supra θεότητα tria puncta. Videtur aliquid deesse, itaque ἐπιστήμοσιν corrigere nolui. 26 δυσερμηνεύτου cod. 27 ἑαυτοῖς pro ἡμῖν αὐτοῖς dictum esse, censebat Kroll (cf. e. g. Marquardt, praef. Galeni, I, p. XLIV). Sed sententia aliud postulare videtur. 29 μόνου del. Kroll. Sed *astrologus unicus* dictus esse videtur Ptolemaeus. ὁ Πτολεμαῖος glossam secl. ἐν add. 32 Fort. <δεικνυμένου> οὕτως Post οὕτως sequebatur olim tabula quae nunc desideratur.

Ἵνα δὲ μὴ πολυλογίᾳ χρησάμενοι δόξωμεν τὴν τοῦ πίνακος σαφήνειαν ἀμαυρῶσαι, ἀρξώμεθα λοιπὸν ἀποτελεῖν περὶ τῆς ἑκάστου τῶν ἀπλανῶν ἀστέρων ποιητικῆς δυνάμεως, ἐπιγράψαντες ἐν τῷ πίνακι καὶ πόσην μοῖραν ἕκαστος αὐτῶν ἐπέχει κατὰ μῆκος· ὑπατείᾳ δὲ Ὀλυβρίου καὶ Αὐσονίου — διὰ τὸ κινεῖσθαι τοὺς ἀπλανεῖς ἐν ἔτεσιν ρ′ μοῖραν α′ εἰς τὰ ἑπόμενα τῶν τροπικῶν σημείων, καθὼς ὁ θειότατος Πτολεμαῖος ὑπέδειξεν — ἐν ᾧ χρόνῳ καὶ ἡμεῖς συνετάξαμεν τήνδε τὴν βίβλον, καὶ ποίας κράσεως ἐστὶν ἕκαστος αὐτῶν, καὶ ποῖον πλάτος ἤτοι ἄνεμον ἐπέχει πάντοτε, ἐξεθέμεθα κατὰ τὴν αὐτοῦ παράδοσιν διὰ τὸ μηδὲν παραλιπεῖν ἡμᾶς τῆς τοῦ πίνακος διδασκαλίας· λοιπὸν δὲ ἀρξώμεθα τῆς τοῦ πίνακος ὑφηγήσεως. ὅσοι τοίνυν τῶν ἀνθρώπων γεννῶνται ἀνατέλλοντος τοῦ Στάχυος, τοῦ ἐπὶ τῆς ἀριστερᾶς χειρὸς τῆς Παρθένου λαμπροῦ ἀστέρος, ὅστις ἐστὶν ἐπὶ τῆς κθ′ μοίρᾳ τῆς Παρθένου ἐν αὐτῷ τῷ ζωδιακῷ...

2 σαφήνιας ἀμαυροῖς cod. cum tribus punctis superscr. ἀρξομεθα cod. ποιοτικῆς cod. 4 ὑπατία cod. ὀλυμβρίου (ρι in ras) καὶ αὐξονίου cod. — Consulatum Olybrii et Ausonii in laterculis anno 379 p. C. notatur, cf. *Chronica minora*, ed. Mommsen, t. III, p. 523. 5 μοῖρα cod., corr. Kroll.

Agit de Spica Virginis, de stellis Lyrae (Λύρας), Piscis austrini (μεγάλου Ἰχθύος τοῦ ἐν τῷ νοτίῳ μέρει), Cygni (Ὄρνιθος), Coronae borealis (Στεφάνου), et eorum necessitudine cum Venere et Marte, deinde pergit (f. 138[v]):

Ἐὰν δὲ Κρόνος ἐπίδῃ τινὰ <τῶν> αὐτῶν ε′ λαμπρῶν ἀστέρων ὡρονομοῦντα, ἰατρικῆς ἔμπειροι γίνονται καὶ προγνώσει ἀποκρύφων βιβλίων ἢ τελετῶν πολυίστορες· ἐὰν δὲ Ζεὺς ἐπιθεωρήσῃ ὡρονομοῦντα ἕνα ὧν προεῖπον λαμπρῶν ε′ ἀστέρων, μείζονας τὰς εὐτυχίας καὶ τὰς δόξας, καὶ τὰς ἀρχὰς ἢ καὶ ἡγεμονίας παρέχεται. καὶ ἐν αὐτοῖς δὲ τούτοις διάφορα τινὰ τούτων συνοίσει· ὁ τοῦ Στάχυος ποιεῖ ἱεροφάντας, ἱερεῖς μεγαλοτίμους ἢ φιλοσόφους ἢ τελετῶν τινῶν προφήτας καὶ μάλιστα τοὺς περὶ τὴν Ἑλλάδα γεννωμένους· καὶ ἐπὶ θηλυκῶν δὲ γενέσεων οὗτος εὑρεθείς, ποιεῖ ἱερείας Δήμητρος ἤτοι Μητρὸς θεῶν ἢ Κόρης ἢ Ἴσιδος ἢ ἱεροφάντιδας ἢ μυστηρίων ἢ τελετῶν εἰδήμονας ἢ τελεσμάτων τινῶν ἐπεχομένας καὶ διὰ θεῶν μεγάλως βοηθουμένας· ἐὰν δὲ ὡροσκοπῇ ἢ μεσουρανῇ ὁ ἐπὶ τοῦ βορείου Στεφάνου λαμπρός, ποιεῖ ἐνδόξους, στεφανηφόρους, ἀρχιερεῖς, βασιλέων φίλους καὶ τὸ σῶμα ἰσχυροὺς καὶ ὀνομαστοὺς γινομένους <καὶ> παρὰ πολλῶν φιλουμένους.

1 τῶν suppl. ε′] ι′ cod. 2 προγνῶσι cod. 3 πολυιστορεὺς cod., corr. Kroll. 6 vix sanum. 8 ἐλάδα cod. 9 οὕτως cod. 11 ἀπεχομένους cod. βοηθουμένους cod. 12 βορείου] κυρίου ut vid. cod. 14 ὀνομαστόν cod. καὶ suppl.

Postea sermo fit de potestate aliarum stellarum. Percensentur ὁ ἐπὶ τῆς καρδίας τοῦ Λέοντος, ὁ Ἀρκτοφύλαξ, ὁ λαμπρὸς τοῦ Ἀετοῦ, Ἀντά-

ρης, ὁ ἐν τῷ ἀριστερῷ ἀκρόποδι τοῦ Ὠρίωνος ἢ ὁ μέσος τῶν τριῶν τῆς ζώνης αὐτοῦ, ὁ ἐν τῷ δεξίῳ ὤμῳ τοῦ Ἡνιόχου, ὁ κατὰ τὸ γόνυ τοῦ Τοξότου, ὁ ἐν τῷ γοργονείῳ τοῦ Περσέως, Κύων, ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου Διδύμων, ὁ ἐπὶ τῆς βορείας Χηλῆς τοῦ Ζυγοῦ, ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου τῶν Διδύμων, ὁ ἐπὶ τῷ δεξίῳ ὤμῳ τοῦ Ὠρίωνος, ὁ κοινὸς Ἵππου καὶ Ἀνδρομέδης, ὁ ἐπὶ τοῦ δεξίου ποδὸς τοῦ Κενταύρου, ὁ ἔσχατος τοῦ Ποταμοῦ. Textus procedit his verbis (f. 140ᵛ) :

Ἐὰν δέ τις γεννηθῇ ὡροσκοποῦντος τοῦ ἐπὶ τῆς οὐρᾶς τοῦ Λέοντος λαμπροῦ, ὅς ἐστιν ἐπὶ τῆς κζ' μοίρας τοῦ αὐτοῦ Λέοντος, ἢ τοῦ ἐπὶ τῆς ὀσφύος αὐτοῦ, ὅστις ἐστὶν ἐπὶ τῆς κζ' μοίρας τοῦ αὐτοῦ, ἢ πάλιν ὡροσκοποῦντος τοῦ λαμπροῦ τοῦ Ὕδρου, ὃς παρανατέλλει τῇ γ' τοῦ Λέοντος, κράσεως ὄντος τοῦ Κρόνου καὶ τῆς Ἀφροδίτης, ἀνατέλλοντες ἐπὶ τῆς γεννητικῆς ὥρας, ποιοῦσι τοὺς οὕτω γεννωμένους εὐτυχεῖς τε καὶ περικτήμονας καὶ περιφανεστάτους, ἐμπαθεῖς δὲ καὶ αἰσχροποιοὺς ἢ μαλακολάλους, ἔτι καὶ φιλορχηστὰς καὶ κακοφήμους δὲ περὶ τὰ ἀφροδίσια, προβαίνοντας δὲ τὴν ἡλικίαν ἱεροσυνῶν τινῶν μεταλαμβάνοντας, διὰ θρησκείαν τινὰ θεϊκὴν μὲν ἢ ἐγκρατείας τιμωμένους καὶ ἐδεσμάτων τινῶν ἀπεχομένους καὶ βιβλίων ἔτι ἀπορρήτων εἰδήμονας· γίνονται δὲ καὶ περὶ τὰ οὐράνια φιλόκαλοι, τοὺς δὲ ὀφθαλμοὺς μᾶλλον ὑπογλαύκους ἢ χαροποὺς ἔχοντες, εὐειδεῖς δε ταῖς ὄψεσιν.

3 κζ' alterum corruptum 4 τῇ] τῆς cod. 5 ὄντες τῆς ♄ cod., fort. τῆς Σελήνης? 6 anacolouthon scriptori videtur tribuendum. 11 εἰδημονες γίνοται *sic* cod. 12 φιλόκαλος.

Deinde disserit scriptor de Hyadum lucida stella (ὁ λαμπρὸς τῶν Ὑάδων) quae divites et proceres gignit (f. 141ʳ) :

Ὥσπερ γὰρ αὐτὸ τὸ ἄστρον καὶ ἡ θέσις τῶν Ὑάδων ἐν ὅλῳ τῷ κόσμῳ καὶ πᾶσι τοῖς ἀνθρώποις εὐεπίγνωστον ἐστὶν ἢ καὶ μᾶλλον <τῶν ἄλλων> φανερώτερον ὑπάρχει, οὕτω καὶ οἱ γεννώμενοι ἀνατέλλοντος ἤτοι ὡροσκοποῦντος τοῦ λαμπροῦ τῶν Ὑάδων ἐνδοξότατοι καὶ περιφανέστατοι καὶ πλουσιώτεροι τῶν ἄλλων ἀνθρώπων γίνονται. τὰ αὐτὰ δὲ ποιεῖ καὶ ὅταν ἰσομοιρήσῃ τῇ Σελήνῃ ἐν τῷ παρανατέλλειν ἤτοι ὡροσκοπεῖν. ἐπειδὴ οὗτος μόνος ὁ ἀστὴρ διπλῆν δύναμιν ἔχει τῶν ἄλλων ἀστέρων, ἀνατέλλοντος γὰρ αὐτοῦ δύνει ὁ λαμπρὸς τοῦ Ἀντάρεως κατ' ἰσομοιρίαν αὐτοῦ διάμετρον στάσιν κείμενος ἐπὶ τῆς ιε' μοίρας τοῦ Σκορπίου, καὶ ἀμφότεροι ἐν αὐτῷ τῷ ζωδιακῷ κύκλῳ εἰσὶν. οὕτως μὲν οὖν καὶ περὶ τὰ δυτικὰ μέρη τῆς οἰκουμένης καὶ περὶ τὰ ἀνατολικὰ καὶ περὶ τὰ ἄλλα κλίματα δοξαζόμενοι <εἰσὶν> καὶ μεγάλα δύνανται.

2-3 τῶν ἄλλων suppl. cf. v. 5. 6 ἰσομοιρήσει cod. 12 εἰσὶν suppl.

Alia quaedam de his stellis adicit, mox iterum de se ipso loquitur (f. 141ᵛ) :

Ταῦτα δὲ ἱκανῷ χρόνῳ ἀγρυπνήσαντες καὶ καμόντες εὕραμεν, ἐπειδὴ πολλάκις ἐπὶ γενέσεως, μηδεμιᾶς θεωρίας καλῆς εὑρισκομένης, μήτε τῶν φωστήρων ἐπικέντρων ὄντων ἀλλὰ καὶ ἀποκλινάντων, [καὶ] μήτε τῶν ἀγαθοποιῶν ἐπικέντρων ὄντων μεγάλας καὶ εὐτυχεστάτας πάνυ γενέσεις ὁρῶμεν· ὥσπερ ἐκτὸς τῶν συνανατελλόντων τοῖς κέντροις ἢ τῇ Σελήνῃ λαμπρῶν ἀστέρων, οὐκ ἀντελαβόμεθα· ταύτης γὰρ ἕνεκα τῆς αἰτίας, καὶ τὴν διαφορὰν καὶ τὴν ἐνέργειαν τῶν λαμπρῶν καὶ ἐπισήμων ἀστέρων ἐξεθέμεθα, <πάντας> πλὴν ἑνὸς μόνου τοῦ Κανώβου, διὰ τὸ νοτιώτερον αὐτῶν εἶναι πάνυ καὶ σχεδὸν μὴ φαίνεσθαι ἐν τούτοις τοῖς μέρεσιν, ζητήσας ἐν τῷ διὰ Ῥώμης κλίματι· ἡμεῖς μὲν οὖν...

2 μὴ δὲ μίας cod. 3 καὶ seclusi. 5 κέντροις non intellego. 8 Sunt lucidae hae stellae numero triginta, ut scriptor ipse dicit (*supra* p. 80, τῶν λ' λαμπρῶν ἀστέρων) cf. Porphyrii, *Introd.* p. 200, ed. 1559. πάντας add. καναβοῦ sic codex. De hac stella similia invenies apud Manilium, I, 208 sqq. 9 αὐτῶν] ἄλλων?

Quae sequuntur in testimoniis de veteribus auctoribus (p. 80) iam prolata sunt. Subiungitur conclusio :

Ἀπογραψάμενοι οὖν περὶ τῆς ἰδικῆς δυνάμεως καὶ ἐνεργείας τῶν ἀπλανῶν καὶ λαμπρῶν ἀστέρων, καὶ κατὰ τὸ δυνατὸν φυσιολογήσαντες περὶ αὐτῶν, εὐλόγως καὶ τὴν τῶν ὑποδεεστέρων δύναμιν καὶ τὸ ποιητικὸν αὐτῶν ὑποτάξωμεν. [F. C.]

1 ἀπογραψάμενος cod. τὰς cod. cum tribus punctis superscr., fuit fort τὰς δυνάμεις. 2 Haec dissertatio dé minoribus stellis inter Palchi excerpta non invenitur.

EXCERPTA EX CODICE 12 (LAUR. 28, 34)

F. 16. Περὶ κατακλίσεως· ἐπιτομὴ Παγχαρίου[1].

<'Εν Κριῷ>· Σελήνη πρὸς Ἄρην ἢ Ἥλιον παροῦσα ἢ τετραγωνίζουσα ἢ διαμετροῦσα, τοῦ Κρόνου τὸ αὐτὸ σχῆμα ἔχοντος, μάλιστα προσθετικὴ τοῖς ἀριθμοῖς ἢ τῷ φωτί, ἀθεώρητος ἀγαθοποιοῦ, μέχρι τῆς ζ' ἀναιρεῖ. Σελήνη πρὸς Κρόνον, ἀφαιρετικὴ τῷ φωτὶ μᾶλλον καὶ τοῖς ἀριθμοῖς, περὶ τὴν ἐνενηκοστὴν μοῖραν μεγάλας <νόσους> ἐπισημαίνει· ἐὰν δὲ καὶ Ἑρμῆς συσχηματισθῇ μόνος τῷ Κρόνῳ πρὸς Σελήνην, ἀπαραβάτως ἀναιρεῖ· ὁ δὲ Ἥλιος καὶ ὁ Ἑρμῆς πρὸς τὸ προκείμενον σχῆμα μᾶλλον ἀντιλήπτορές σοι νοείσθωσαν· ἀλλὰ μὴν καὶ ἀγαθοποιὸς ἐὰν ἐπιβῇ, μέχρι τοῦ ἄκρου κινδύνου ἐλεύσεται, ὑπερβὰς δὲ τὴν διάμετρον, σωθήσεται. Σελήνη πρὸς Ἑρμῆν καὶ Ἥλιον, προσθετικὴ τοῖς ἀριθμοῖς ἢ καὶ τῷ φωτί, ἐπισφαλῆ καὶ ὀξύτατα πάθη μέχρι τῆς διαμέτρου ποιήσει· ἐὰν δὲ Ἑρμῆς συσχηματισθῇ, σωθήσεται κινδυνεύσας. Σελήνη πρὸς Ἑρμῆν καὶ πρὸς ἀμφοτέρους καὶ πρὸς ἕνα μόνον τῶν ἀγαθοποιῶν, ἀνωμάλως μὲν νόσους καὶ μεταπιπτούσας εἰς ἑτέρας ποιεῖ, σώζει δὲ ἀπαραβάτως.

Ἐν Ταύρῳ· Σελήνη πρὸς Κρόνον, μάλιστα τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ ἀφαιρετική, ἀγαθοποιῶν μὴ ἐπιθεωρούντων, μέχρι τῆς διαμέτρου ἀπαραβάτως ἀναιρεῖ. τοῦ δὲ Ἄρεως ἢ καὶ Ἡλίου τὸ αὐτὸ σχῆμα ἐχόντων, κατὰ τὴν πρώτην τετράγωνον ἀναιρεῖ, ἀγαθῶν δὲ θεωρούν-

2 'Εν κριῷ suppl. Kroll. 3 τὸν Κρόνον cod. 4 ὑπ' ἀγαθοποιοῦ? sed cf. infra. 6 ἐνενήκοντα cod., corr. Kroll (nonagesima sc. ab. horoscopo). μεγάλως cod. νόσους supplevi. 15 ἀνωμάλως cod., num ἀνωμάλους? sed cf. infra, et Hermet., *l. c.* [in nota], III, 11 ss. 18 ἀγαθοποιοὶ cod., corr.

[1] [Pancharium Ptolemaei commentarium scripsisse ex Hephaestionis libro II c. 11 usque adhuc inedito nos docuit Kroll (*Philologus* N. F. XI, 1898, p. 123). Idem adiecit in cod. Marciano 336, f. 256r, Pancharii excerptum περὶ φλεβοτομίας καὶ καθάρσεως inveniri (de quo argumento conferre licet, Kühn, *Galeni opera*, t. XIX, p. 519). His quae in cod. Laurentiano sub eius nomine tradita sunt, similia praebet liber III Hermetis Trismegisti ad Ammonem περὶ θερμαινόντων (Ideler, *Physici minores*, I, p. 391 sqq.) ex quo libri Florentini scripturam interdum corrigere licet. Utrumque opusculum ex ampliore libro versibus, ut videtur, concepto (p. 119, v. 12, p. 121, v. 32) contractum esse crediderim. — F. C.]

των, μετὰ τὸν κίνδυνον σώζει. Σελήνη πρὸς Ἄρην, μάλιστα ἐν ἡμέρᾳ, τοῦ Κρόνου τὸ αὐτὸ σχῆμα ἔχοντος, ἀγαθοῦ μὴ ὁρῶντος, ἐννάτην ἡμέραν ὑπερβῆναι οὐ συγχωρήσει, ὁρῶντος δὲ ἀγαθοῦ, τῇ κε' ἡμέρᾳ, ἀναιρεῖ. Σελήνη πρὸς Κρόνον μάλιστα δὲ [ἢ] καὶ πρὸς Ἑρμῆν, μετὰ τὴν τετράγωνον ἐπισημασίαν <τὸν> σύνδεσμον λύσασα, ἐπὶ τὸ χεῖρον τρέψει, ἀγαθοῦ μὴ κατοπτεύσαντος, τὴν κατάκλισιν τὴν διάμετρον οὐ συγχωρήσει ὑπερθέσθαι. Σελήνη πρὸς Ἄρην ἢ Ἥλιον, προσθετικὴ τοῖς ἀριθμοῖς, μάλιστα ἐπὶ πανσελήνου ἢ πρὸ τῆς ἀμφικύρτου, ὀξυνοσίας ποιεῖ μέχρι τῆς διαπέμπτου. ἐὰν δὲ ᾖ ὁ Ἥλιος ἐν τῷ Λέοντι, ἔσται καρδιακὴ ἡ διάθεσις τῆς Ἀφροδίτης. Δία προσεδρεύοντα, πᾶσαν ὥραν δεῖ ἐπιτηρεῖν, ἀγαθοποιούμενον ὡροσκοπεῖν, καὶ ἐὰν τύχῃ ἐπὶ τῆς ἐπισημασίας ἐνισταμένης, κἀνθρέψεις ἢ λούσεις, ἢ οἰνοδοτήσεις, μεγάλως βοηθήσεις· ἐὰν δὲ ἀπὸ τῆς ζ' ἐπὶ τὸ χεῖρον τραπῇ, ἀπογνωσθήσεται· ἀγαθοῦ δὲ θεωρήσαντος τὴν κατάκλισιν ἀπὸ τῆς ζ', ὑγεία προσδόκιμος.

Ἐν Διδύμοις· Σελήνη πρὸς Κρόνον, μάλιστα τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ ἀφαιρετική, τοῦ Ἄρεως τὸ αὐτὸ σχῆμα ἔχοντος, μηδενός τε ἀγαθοποιοῦ παρεμπλεκομένου, μετὰ τὴν λ' ἡμέραν ἀναιρεῖ, παρεμπλεκομένου δὲ ἀγαθοῦ, <εἰς> χρόνια πάθη βαλοῦσα σώζει. Σελήνη πρὸς Ἄρην, μάλιστα τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ αὔξουσα, τοῦ Κρόνου τὸ αὐτὸ σχῆμα ἔχοντος, μηδενὸς ἀγαθοποιοῦ παρεμπλεκομένου, [δὲ] σώζει κινδυνεύσαντα. Σελήνη πρὸς Κρόνον καὶ Ἑρμῆν, μάλιστα ἐκ συνόδου ἀφαιρετικὴ τοῖς ἀριθμοῖς, μὴ ἀγαθοποιουμένη, ἀναιρεῖ, πάντων δὲ ἀγαθοποιῶν θεωρούντων, ποικίλως νο<σ>ήσαντες σώζονται. εἰ δὲ μηδενὶ ἀστέρι ἐπὶ τῆς κατακλίσεως σχηματίζηται ἡ Σελήνη, μᾶλλον μὲν ἀνωμάλως τὰς νόσους ποιήσει, ἐν δὲ τῷ διαμέτρῳ λύει ταύτας. Σελήνη πρὸς Ἄρην ἢ καὶ μάλιστα πανσέληνος αὔξουσα ἢ καὶ πρώτην ἔχουσα ἀμφίκυρτον καὶ ἔτι μᾶλλον ὅταν τοῖς ἀριθμοῖς ἐπὶ τὰ μεγάλα κινῆται, μέχρι τὴν τετράγωνον, καὶ μᾶλλον εἰς ἀπόγνωσιν ῥέπουσα· εἰ δε ἀπὸ τῆς τετραγώνου ἡ νόσος ἐπὶ τὸ μεῖζον τραπῇ, καὶ <εἰς> τὴν κοιλίαν κατενεχθείη, ἀναιροῦνται πάντως. εἰ δὲ ἀγαθὸς ἐπίδοι τὴν κατάκλισιν, καὶ μάλιστα μὴ συμπλακέντος τοῦ Κρόνου, σωτηρίας ἐλπὶς ἤτοι ἀπὸ τῆς τετραγώνου ἢ καὶ πάντως ὕστερον.

Ἐν Καρκίνῳ· Σελήνη πρὸς Κρόνον, παρέλκει τὴν νόσον μέχρι τῆς

1 κὶν δὺν σώζη cod.. κίνδυνον σώζει scripsi. 3 τὴν κε' ἡμέραν cod, corr. Kroll. 4 ἢ seclusi. 5 τὸν add. Kroll, cf. infra. 6 κατοψεύσαντος cod., κατοπτεύσαντος scripsi. 8-9 ἀμφικίρτου cod. 9 διαπέμπτος, διάτριτος (v. 4, 120, 26) lineae sunt aliquod signum cum eo coniungentes quod ab eo est tertium vel quintum [Kroll]. ᾖ scripsi, ἡ cod. 12-13 κἀνθρέψης λούσης οἰνοδοτήσης cod., corruptum hexametrum videtur fuisse [Kroll]. 15 υγια cod. 17 τε] τι cod. 19 εἰς add. Kroll, cf. infra. 24 post ἀγαθοποιῶν : ηθείη cod, θεωρούντων scripsi. νοήσαντες cod. 26 σχηματίζεται cod. 28 ὅτ' ἂν cod. κινεῖται cod. 29 ἡ δὲ cod., corr. Kroll, 30 εἰς add. post κοιλίαν : πτα cod., κατ corr. Kroll. 31 ἐπείδοι cod. 34 ss. cf. Hermet. Trism., III, 23. παρέλκη cod.

ιδ' καὶ οὕτως ἀναιρεῖ, μὴ θεωρήσαντος ἀγαθοποιοῦ, θεωρήσαντος δέ, σώζει κακοπαθήσαντας. Σελήνη πρὸς Ἄρην, μηδενὸς ἐπιθεωροῦντος ἀγαθοῦ, μέχρι τῆς διαμέτρου ἀναιρεῖ, εἰ δὲ θεωρεῖ, ἀπὸ τῆς πρώτης τετραγώνου σώζει. Σελήνη πρὸς Ἄρην καὶ Ἥλιον, μηδενὸς ἀγαθοῦ παρεμπλακέντος, μέχρις ἂν τὸν σύνδεσμον λύῃ, πάθος ποιεῖ περὶ τὸ νευρῶδες καὶ παρακοπήν· ἐὰν δὲ τὸν σύνδεσμον λύσῃ καὶ ἐπὶ τὰ ἥττονα κινουμένη συνάψῃ ἀγαθοποιῷ, εἰς περίοδον τέταρτον πεσόντα σώζει, ἐὰν δὲ κακοποιῷ, τουτέστιν Κρόνῳ, οὐδὲ ἕως τὴν διάμετρον σώζει. ἐὰν δὲ ἐπὶ τὰ μείζονα κινουμένη ἀπὸ τοῦ συνδέσμου συνάψῃ Κρόνῳ, μέχρι τῆς διαμέτρου κινδυνεύσαντα σώζει. ἐὰν δὲ τῷ προκειμένῳ τρόπῳ μηδὲ εἷς τύχῃ μέσος, τουτέστιν μέχρι τῆς Σελήνης σύνδεσμον λυούσης καὶ κινουμένης ἐπὶ τὰ ἥττονα, σωτηρίας τρόπος. ἐὰν δὲ τῆς Σελήνης τὰ ἥττονα κινουμένης τῷ αὐτῷ τρόπῳ Κρόνος καὶ Ἑρμῆς σχηματισθῶσιν, χρονίζουσιν τὰ πάθη πλέον ο' (?) ἧττον ἀναιρεῖν ἐργαζόμενα <?>. ἐὰν δὲ προσθετικὴ τοῖς ἀριθμοῖς καὶ τῷ φωτί, καθ' ὃν δήποτε οὖν τρόπον **** νοις ἀστράσι ἡ Σελήνη προσκλιθῇ, κατακλιθήσονται μέχρις ἂν ἡ Σελήνη παραγένηται ἐπὶ τὸ δέκατον ζῴδιον τῆς κατακλίσεως· ἐὰν δέ ἀνεπιθεώρητος ἀγαθῶν ἢ κακῶν εἴη ἡ Σελήνη, χολεριάσαντες ἐν αὐτῷ τῷ ζῳδίῳ τὰς νόσους λύουσιν· ἐὰν δὲ ἀγαθοὶ μόνοι καὶ Ἑρμῆς σχηματισθῶσιν καθ' ὃν δήποτε οὖν τρόπον, μέχρι τῆς τετραγώνου τὰ πάθη λύουσιν· φύσει δὲ κατὰ τόδε τὸ ζῴδιον δυσκατάληπτοι καὶ κακοήθεις αἱ νόσοι γίνονται.

Ἐν Λέοντι· Σελήνη πρὸς Κρόνον, μὴ ἐπιθεωροῦντος ἀγαθοῦ, μέχρι τῆς διαμέτρου ἀναιρεῖ· εἰ δὲ θεωρεῖ, πολλὰ κακοπαθήσαντα σώζει. Σελήνη πρὸς Ἄρην, μηδενὸς ἀγαθοῦ θεωροῦντος, μέχρι τῆς ἐννάτης ἀναιρεῖ, θεωροῦντος δέ, ἀπὸ τῆς διατρίτου κινδυνεύσαντα σώζει. Σελήνη πρὸς Ἄρην καὶ Ἥλιον, τοῖς ἀριθμοῖς ἢ καὶ τῷ φωτὶ προσθετική, καρδιακὴν πάντως περίστασιν ἐργάζεται, μέχρι τῆς διαπέμπτου· ἐπὶ δὲ τὴν τετράγωνον πλευράν, ἂν μὴ λήγῃ τοῖς ἀριθμοῖς ἢ καὶ ἐπαύξῃ τότε, Κρόνος σχηματισθεὶς σώζει. Σελήνη μεμονωμένη καὶ τοῖς ἀριθμοῖς ἀφαιρετική, σώζει. Σελήνη πρὸς Δία καὶ Ἀφροδίτην, ἐπὶ τῆς κατακλίσεως ἢ καὶ ὅταν ἔλθῃ εἰς τὸ τετράγωνον, σώζει. Σελήνη πρὸς Κρόνον καὶ Ἥλιον τὰ μεγάλα κινουμένη ἢ καὶ αὐξιφωτοῦσα, μάλιστα δὲ καὶ ἀγαθοῦ συμπλακέντος, ἀπὸ τῆς τετραγώνου, σώζει· ἐὰν δὲ τὰ μείζονα ἀπὸ τοῦ ἀναβιβάζοντος <?> τρέπῃ, καὶ παντοίως σώζει. Σελήνης τῷ αὐτῷ τρόπῳ κινουμένης, ἐπὶ τὸ βόρειον φερομένης, ἐὰν Κρόνος καὶ

3 ἡ δὲ θεωρεῖσα cod., corr. Kroll, cf. Hermet. Trism., p. 393, 1 θεωρήσει. 5 πάθος corr. Kroll. : ἀγαθὸν cod. 6 ἔπιτα cod. 7 πυρετὸν τεταρταῖον coni. Wünsch. 12 ἔπειτα cod. 14-15 ἐργάσοντες cod., corr. dub. 16 τρόπον sqq. spatium vacuum νοις τοῖς εἰρημένοις ἀστράσι coni. Kroll. 18-19 χολιεράσαντες cod., corr. Kroll. 20 καθόν. 21 δυσκατάληπτον cod., corr. Kroll. 23 ss. cf. Hermet. Trism, III, 27 sqq. ἐπιθεωρούντος cod. 23 θεωρεῖσα cod. 29 ἢ] εἰ cod., corr. Kroll. 32 εἰ cod., corr. Kroll. 33 αὔξη φωτοῦσα cod. 36 βώριον.

Ἄρης ἢ καὶ εἷς ἕτερος σχηματισθείη [ἢ], ἀπαραβάτως ἐπὶ τὴν διάμετρον λύει τὴν νόσον. Σελήνη τὰ μεγάλα κινουμένη καὶ μεμονωμένη ἐπὶ τὴν τετράγωνον ἐπισημήνασα, λύει τὴν νόσον, ἐὰν δὲ τὰ ἥττονα, μέχρι τῆς τοῦ ἄλλου κύκλου περιαγωγῆς ἀνωμαλίας ποιήσασα, σώζει.

Ἐν Παρθένῳ· Σελήνη πρὸς Κρόνον, ἀγαθοῦ μὴ θεωροῦντος, περὶ τὴν ιδ' κίνδυνον ποιήσει· θεωρήσαντος δὲ τὴν Σελήνην, πολυχρόνιον πάθος ποιήσασα μετὰ τοῦτο σώζει. Σελήνη πρὸς Ἄρην, χωρὶς ἀγαθοποιοῦ, τῇ λ' ἡμέρᾳ ἀναιρεῖ· ὑπὸ δὲ τούτου θεωρηθεῖσα, διὰ θείας βοηθείας ἀποσώζει. ἐὰν δὲ ἀπὸ τοῦ ἐλαχίστου δρομήματος ὁρμηθεῖσα ἐπὶ τὰ μείζονα κινῆται πρὸς Ἄρην καὶ Ἥλιον, παρακόψουσι ταῖς λαλιαῖς ἐμποδιζόμενοι· ἐὰν δὲ <ἀπὸ> τῆς τετραγώνου ἐπὶ τὰ μείζονα τρέπηται, περισσοτέρως μέχρι τῆς διαμέτρου κινδυνεύσαντες, καὶ ἔπειτα χρονίσαντες τῷ πάθει, τελευτῶσιν. Σελήνη πρὸς Κρόνον, ἤτοι μόνη ἢ καὶ σὺν Ἑρμῇ ἢ καὶ σὺν Ἀφροδίτῃ ἢ καὶ σὺν Διὶ τὰ μείζονα κινουμένη, ὁμοίως μὲν χρονίας νόσους ποιεῖ, σώζει δὲ ὕστερον. Σελήνη μεμονωμένη εἴτε προσθετική, εἴτε ἀφαιρετική, περιοδεύσασα τὸν κύκλον ἢ *** τὸ πάθος. Σελήνη Διὶ ἢ Ἀφροδίτῃ ἢ Ἑρμῇ ἢ ϛ' ἢ καὶ τῷ γ' ἢ ὡ <?> μετὰ τὴν τοῦ κύκλου περίοδον ἀπ' αὐτοῦ τοῦ ζῳδίου τῆς Παρθένου μέχρι τῆς διαπέμπτου λύει τὴν νόσον.

Ἐν Ζυγῷ· Σελήνη πρὸς Κρόνον μάλιστα ἀφαιροῦσα τοῖς ἀριθμοῖς ἢ καὶ τῷ φωτί, ἔτι δὲ μᾶλλον εἰ καὶ νυκτός, κίνδυνον ἔσχατον δηλοῖ· ἐὰν δὲ καὶ Ἄρης τὸ αὐτὸ σχῆμα ἐπισχῇ, ἀπαραβάτως ἐν τῷ διαπέμπτῳ ἀναιρεῖ. Σελήνη πρὸς Ἄρην, μηδενὸς ἀγαθοῦ θεωροῦντος, ἐντὸς ι' ἡμερῶν ἀναιρεῖ, θεωροῦντος δὲ, μέχρι τῆς διαμέτρου, σώζει. Σελήνη πρὸς Κρόνον σὺν Ἀφροδίτῃ καὶ Ἑρμῇ ἢ καὶ σὺν ὁποτέρῳ τούτων τὰ ἥσσονα κινουμένη μέχρι τετραγώνου φροντίζειν πάντως ποιεῖ, χρονίοις τε περιβαλοῦσα πάθεσιν οὕτως σώζει. Σελήνη πρὸς Κρόνον μόνον, πάντως ἀπολύσει, τὰ ἥσσονα κινουμένη· ἐὰν δὲ μεγάλα τροχάζῃ, μέχρι τῆς διαμέτρου, σώζει. Σελήνη πρὸς Ἄρην καὶ Ἥλιον ἀλλὰ μὴν σὺν ἐκείνοις ἢ καὶ πρὸς Ἑρμῆν, πολυχρονίους νόσους ποιεῖ καὶ παραμονὴν τῆς διαθέσεως, μετὰ καὶ τοῦ κινδύνου, ἀγαθοῦ δὲ θεωρήσαντος, μισθῷ ἢ χρηματισμῷ σώζει, πλὴν μόνου τοῦ ἐπὶ τῶν αὐγῶν πάθους, τουτέστιν ὀφθαλμικοῦ· τοῦ Ἑρμοῦ συμπλακέντος Σελήνη μεμονωμένη εἴτε αὔξουσα εἴτε λήγουσα, κακοήθεις μὲν τὰς νόσους ποιεῖ, λύει δὲ αὐτὰς ἐπὶ τὴν διάμετρον. κοινῶς δὲ τὰ τροπικὰ καὶ ἰσημερινὰ ζῴδια κακοήθεις τὰς νόσους ἔχουσιν.

1 εἷς ἕτερον cod. ἢ uncis secl. 5 Cf. Hermet. Trism., III, 29 ss. 6 θεωρήσαντα cod., corr. Kroll. 10 κινεῖται cod. 11 ἀπὸ add. Kroll. 14 μόνον cod. εἰ καὶ ... εἰ καὶ cod., corr. Kroll. 17 lacun. signavi. τοὺς cod. τρίγωνος ἑξάγωνος διάμετρος subesse coni. Kroll. ἀπαυτοῦ cod. 20 Cf. Hermet. Trism., III, 33. 23 ἐν τοῖς cod. 25 συνοποτέρων cod. 28 ἀπολύσειν τροχάζει cod. 32-33 μόνον τ. ε. τ. αὐτῶν παθῶν cod., corr. Kroll qui verba αὐγαὶ et τροχάζει (v. 28) ex poetica commentatione retenta esse adnotavit.

Ἐν Σκορπίῳ· Σελήνη πρὸς Κρόνον, προσθετικὴ ἀριθμοῖς ἢ καὶ τῷ φωτὶ μάλιστα ἀγαθοποιουμένη, σώζει. Σελήνη πρὸς Ἄρην, ἀφαιρετικὴ τῷ φωτὶ ἢ καὶ τοῖς ἀριθμοῖς, μάλιστα ἀγαθοποιουμένη, σώζει ἐν τῇ πρώτῃ τετραγώνῳ ἢ μέχρι τῆς διαμέτρου. Σελήνη πρὸς Ἄρην, προσθετικὴ τοῖς ἀριθμοῖς μάλιστα ἐκ συνόδου, σιδήρου πεῖραν παρέξει· ἐὰν δὲ καὶ πρὸς Ἥλιον φέρηται, καὶ ἀποστήματα παρέξει περὶ τὰ πλευρά· ἐὰν δὲ καὶ ἐπὶ τὰ μείζονα τραπῆται, τουτέστιν ἐπὶ τὰ ἄλλα κατὰ μῆκος, καὶ τομὴν παρέξει περὶ τὰ πλευρὰ καὶ δι' ἐμέτων αἷμα ἐκ ῥινῶν ποιήσει· μέχρι δὲ τὴν διάμετρον παρατείνασα οὕτως τε ὑπερθεῖσα, χρόνια πάθη παρέχει καὶ οὕτως ἄγει εἰς κίνδυνον· εἰ δὲ Ζεὺς ἢ Ἀφροδίτη συμπλακῇ [ἢ] τῇ Σελήνῃ, τὰ μὲν προκείμενα δράσει πάθη, σώζει δὲ χρονίσαντα. Σελήνη πρὸς τὰ ἥττονα τρέχουσα ἢ καὶ ἐπὶ σύνδεσμον ἐρχομένη, παραλύει ἀπαραβάτως καὶ [εἰς] χρόνια πάθη. [A. O.]

5 πεἱραν cod. 6 πάρεισιν cod. 7 τραπεῖται cod. deesse aliquid videtur. 8 διαιμάτων cod., corr. Kroll. 9 διαμέτρου cod. 11 ἢ uncis secl., ἢ* cod. δράσῃ cod. 13 εἰς uncis secl. — Mutilum esse opusculum inde apparet quod de Scorpione, Sagittario Capro, Amphora, Piscibus nihil invenimus.

F. 17. Περὶ κατακλίσεω[ν] καὶ νόσων.

Σκεπτόμενος περὶ νοσημάτων βλέπε τόν τε ὡροσκόπον τῆς κατακλίσεως καὶ τὴν τῆς Σελήνης ἐποχήν, καὶ τοὺς τούτων οἰκοδεσπότας, καὶ ἔτι τὰς συναφὰς αὐτῶν, καὶ τὸ τῆς Σελήνης δωδεκατημόριον. ἐὰν μὲν γὰρ ταῦτα ἀγαθοποιοὶ τύχωσι κληρωσάμενοι, οὐδεμία ἔσται βλάβη, ἀλλὰ ταχέως ἡ νόσος ῥαΐσει, καὶ ὑγίεια ἐπακολουθήσει· ἐὰν δὲ κακοποιοί, βλάβη δηλοῦται καὶ κάκωσις κοινῶς. ἰδίως δὲ εἰ μὲν Ἄρης ταῦτα κληρώσεται, ὀξεῖα ἔσται ἡ νόσος καὶ ἐπικίνδυνος· εἰ δὲ Κρόνος, χρονία τε ἅμα καὶ χαλεπὴ γίνεται ἡ νόσος· ἐὰν πάλιν ἡ Σελήνη μόνη φαίνηται κεκακωμένη ὑπὸ Κρόνου ἢ Ἄρεως, ἡ βλάβη περὶ τὸ σῶμα ἔσται μόνον τοῦ ἀνθρώπου· ἐὰν δὲ μόνος ὁ ὡροσκόπος βλαβῇ, παραφροσύνη ἔσται καὶ τῆς διανοίας βλάβη καὶ παρακοπή· εἰ δὲ ἀμφότεροι οἱ τόποι τῆς τε Σελήνης καὶ τοῦ ὡροσκόπου ὦσιν βεβλαμμένοι ὑπὸ τῶν κακοποιῶν καὶ μηδεὶς ἀγαθοποιὸς ἐπιθεωρήσῃ, φαῦλον τὸ σημεῖον καὶ κινδυνῶδες καὶ θανάτου προοίμιον. περὶ ποῖον δὲ τόπον τοῦ σώματος ἔσται ἡ νόσος, ἐκ τῆς τῶν ιβ' ζῳδίων φυσικῆς συμπαθείας καὶ οἰκειώσεως, καθὼς ἐν τῷ με' κεφαλαίῳ ἔμαθες, γνώσῃ. ἐὰν δὲ Κρόνος ἢ Ἄρης ἤτοι

Ex codice 12, f. 17 (= L), addo lectiones varias codicis 7, f. 223v (= L'). 1 παγχαρίου περὶ τῶν αὐτῶν L'. 3 τὰς L'. οἰκοδεσποτίας L'. 4-5 καὶ ἐὰν πάντα L'. 5 ἀγαθοποιὸς L'. τύχωσιν L. 6 ὑγεία L'. εἰ δὲ L'. 7 κοινῶς om. L'. 8 ἐπικύνδυνος L. 9 ἡ νόσος om. L'. πάλιν ἐὰν L'. 10 καὶ κακ. L. περὶ] παρὰ L'. μόνον ἔσται L'. 11 μόνος om. L'. 12 τε om. L'. 13 εἶεν κεκακωμένοι παρὰ τῶν L'. 14 ἐπιθεωρήσειε L'. 15 θανάτου om. L'. ἐν ποίῳ δὲ τόπῳ L'. 17 καθὼς— ἔμαθες om. L'.

ὡροσκοπῶσιν ἢ τὸν ὡροσκόπον [διαμετρῶσιν] ἢ τὴν Σελήνην διαμετρῶσιν, μεγάλου κινδύνου καὶ χαλεποῦ τοῦτο τὸ σημεῖον· ἐὰν δὲ τούτων ὄντων, ἀγαθοποιοὶ ἐπιβλέπωσι τὸ σχῆμα, βοήθεια ἔσται τῷ νοσοῦντι· ἐὰν δὲ κακοποιοί, ἐπιτείνεται τὰ κακά. γνώσῃ δὲ καὶ δυσφορίαν τοῦ κάμνοντος κατὰ τὰς περιόδους καὶ εὐφορίαν ἐκ τοῦ τῆς Σελήνης περιπάτου καὶ τῶν ἐφημερίδων· ὅταν γὰρ κακοποιῷ συνάπτῃ, δυσφορία ἔσται καὶ τῶν πόνων ἐπίτασις καὶ μάλιστα ἐὰν ἐν ὁρίοις κακοποιοῦ τοῦτο συμβῇ· ὅταν δὲ ἀγαθοποιῷ συνάπτῃ, εὐφορία γίνεται καὶ τῶν πόνων ἄνεσις καὶ μάλιστα ἐὰν ἐν ὁρίοις ἀγαθοποιοῦ. δεῖ δὲ σκοπεῖν καὶ ταῦτα· λαβὼν τὴν τῆς Σελήνης ἐποχὴν ἐν τῷ καιρῷ τῆς κατακλίσεως, βλέπε ἐκ τῶν ἐφημερίδων μετὰ Ζ' ἡμέρας τὴν Σελήνην ἐρχομένην ἐν τῷ ἑαυτῆς σχήματι, τουτέστι τῷ τετραγώνῳ· μετὰ δὲ ἡμέρας θ' ἐν τῷ τῆς καταρχῆς ἔρχεται τριγώνῳ σχήματι· μετὰ δὲ ἡμέρας ιδ' ἑαυτὴν διαμετρήσει δηλονότι· μετὰ δὲ ἡμέρας ιθ' ἐν τῷ δεξιῷ τριγώνῳ ἔρχεται· μετὰ δὲ ἡμέρας κα' ἐλεύσεται ἐν τῷ δεξιῷ τετραγώνῳ αὐτῆς σχήματι. ταῦτα οὖν ἀκριβῶς δεῖ σκοπεῖν τὰ ε' σχήματα τῆς Σελήνης, καὶ τίνι τῶν ἀστέρων μετὰ τὸ τῆς καταρχῆς σχῆμα συνάπτειν μέλλει· εἰ μὲν γὰρ ἀγαθοποιοῖς συνάπτῃ, εὐφορία γίνεται, εἰ δὲ κακοποιοῖς δυσφορία καὶ βλάβη· αἱ δὲ καταρχόμεναι νόσοι ἐν ἡμέρᾳ, διὰ Ζ' ἢ διὰ ιδ' ἡμέρας κρίνονται· αἱ δὲ ἐν νυκτί, δι' ἡμέρας ι' ἢ κ'. ταῦτα οὖν σκοπῶν, οὐ μόνον τὴν ἡμέραν τῆς εὐφορίας ἢ δυσφορίας προγνώσῃ, ἀλλὰ καὶ τὴν ὥραν· οἱ μὲν γὰρ ἀγαθοποιοὶ ἐν ταῖς κρίσεσιν ὑπαντῶντες τὴν Σελήνην, εὐφορίαν ποιοῦσιν, καθ' ἣν ὥραν μοιρικῶς αὐτὴν ἐπιθεωρήσουσιν· οἱ δὲ κακοποιοὶ δυσφορίαν καὶ ἄλγος. ὁ Κρόνος βλαβερώτερος γίνεται τοῖς ἐν νυκτὶ καταρχομένοις νοσεῖν, ὁ δὲ Ἄρης τοῖς ἐν ἡμέρᾳ. ἡ Σελήνη καὶ ὁ ὡροσκόπος ἐν τοῖς τροπικοῖς ζῳδίοις ὄντες, τὰς νόσους ὑποτροπιάζειν ποιοῦσιν. οἱ δύω φωστῆρες ὑπὸ γῆν εὑρεθέντες ἐν τῇ κατακλίσει, κακὸν σημεῖον δηλοῦσι τῷ νοσοῦντι, ἐὰν καὶ ἐξ ἄλλων τινῶν σημείων κάκωσις ἐπιφαίνηται· οὐδὲ γὰρ ἀφ' ἑνὸς μόνου σημείου στοχαζομένους δεῖ προπετῶς καὶ ἀβασανίστως ἀποφαίνεσθαι, ἀλλ' ἀπὸ πλειόνων πρὸς τὴν καλουμένην πλειονοψηφίαν. τῆς Σελήνης τὰ προειρημένα ε' σχήματα κατὰ περίπατον ἀποτελούσης, ὡς εἴρηται, ἐὰν μὲν Κρόνος αὐτῇ μαρτυρήσῃ ἢ

1 τὸν ὡροσκόπον διαμετρῇ ἢ τῇ Σελήνῃ συνοδεύῃ ἢ διαμετρῇ L'. διαμετρῶσιν uncis inclusi. 2 τὸ om. L'. 3 ἐπιβλέπωσιν L. 4 ἐπεκτείνεται L'. 6 κακοποιός L'. 8 ἀγαθοποιός L'. post συνάπτῃ: τῇ Σελήνῃ L'. γίνεται om. L'. 9 ἐὰν om. L'. ἀγαθοποιοῦ] ἀγαθοῖς L'. 11 ἡμερῶν Ζ' L. 12 ἐν τῷ — τετραγώνῳ] ἐν τῷ ἑαυτῆς τετραγώνῳ σχήματι L'. 12-13 μετὰ — σχήματι] μετὰ δὲ Θ', μετὰ δὲ Θ', μετὰ δὲ Θ <sic>, ἐν τῷ τριγώνῳ L'. 13 ἡμέρας om. L'. 14 ἑαυτὴν — δηλονότι] εἰς τὴν ἑαυτὴν διάμετρον L'. ἡμέρας om. L'. ἔρχεται εἰς τὸ δεξιὸν τρίγωνον L'. 15 μετὰ δέκα ἐν τῷ δεξῷ τετραγώνῳ L'. 16 τὰ ε' σχήματα τῆς Σελήνης δεῖ ἀκριβῶς σκοπεῖν L'. 17 σχηματίσαι τὴν post τὸ L. post τῆς καταρχῆς : Σελήνην συνάπτειν μέλλοι L. 18 συνάπτει L'. 20 δι'] διὰ L. 28 δηλοῦσιν L. 30 ἀπὸ ἑνὸς L. καὶ om. L.

συνοδεύσῃ, παρέχει ῥίγη καὶ ψύξεις καὶ ῥευματισμούς καὶ νεύρων σπασμοὺς καὶ ὀδύνας· ἐὰν δὲ ὁ Ἄρης ταῦτα κληρώσηται, πυρετοὺς καὶ θέρμας καὶ δίψας ἀποτελεῖ καὶ ξηρότητας. πολλάκις δὲ οὕτως τυχὼν ὁ Ἄρης, αἱμορραγίαν ἐκ ῥινὸς ποιήσας, ἔκρινε τὸ νόσημα καὶ ὠφέλησε τὸν νοσοῦντα. ἐὰν δὲ ἐν τῇ καταρχῇ τῆς νόσου εὑρεθῇ ἡ Σελήνη προσθετικὴ τοῖς ἀριθμοῖς καὶ πρὸς Ἥλιον ἢ πρός Ἄρην σχηματιζομένη, γνῶθι ὅτι ἐν τῇ ζ′ ἡμέρᾳ ἢ ἐν τῇ ιδ′, τουτέστιν ὅταν ἑαυτὴν τετραγωνίσῃ ἢ διαμετρήσῃ, πάνυ ἔσται τῷ κάμνοντι ἐπισφαλῆ καὶ ἐπικίνδυνα τὰ πράγματα, καὶ οὐ πόρρω ἐστὶν ὁ θάνατος. ἐὰν δὲ τῶν ἄλλων οὕτως ἐχόντων, ὁ Κρόνος αὐτὴν μαρτυρῇ καὶ τὸν Ἥλιον, ὠφέλιμος γίνεται· ἐὰν δὲ τῆς Σελήνης τοῖς ἀριθμοῖς ἀφαιρούσης ἐν τῇ καταρχῇ ὁ Κρόνος σχηματίσῃ, βλαβερὸς γίνεται τῷ κάμνοντι· ἐὰν δὲ οὕτως αὐτῆς ἐχούσης ὁ Ἄρης ἐπιθεωρήσῃ, ὠφέλιμος γίνεται· ἐὰν τῆς Σελήνης ἐν τῇ κατὰ πάροδον τῶν σχημάτων ἀμείψει ἐρχομένης ἐπὶ τὸ ἴδιον τετράγωνον ἢ τὸ σχῆμα ὁ Κρόνος αὐτὴν ἐπιθεωρήσῃ, εἰ μὲν ἐπὶ τῶν εἰρημένων ἀγαθῶν σημείων εἴη ἡ καταρχή, αἴτιος γίνεται σωτηρίας τῷ κάμνοντι· εἰ δὲ ἐπὶ τῶν κάκωσιν ἐμφαινόντων σημείων καὶ ὁ Κρόνος ἐν τῷ τετραγώνῳ ἢ τῷ <διαμέτρῳ> σχήματι τὴν Σελήνην πρὸς ἑαυτὸν ἐπικακώσῃ, αἴτιος θανάτου τῷ κάμνοντι γίνεται καὶ ἀναιρεῖ. [A. O.]

1 ῥίση L. 4 ἐκ ῥινὸς om. L. ἔκρινεν L. 5 δὲ om. L′. 11 ἐὰν (δὲ om.) τῆς Σελήνης — ὠφέλιμος γίνεται in fine capitis traiecit L′. 17 τοῖς κάκ. ἐμφαίνουσι σημείοις L. ἄλλοις post σημείων add. L. 18 τῷ om. L. διαμέτρῳ add. Kroll. 19 ἑαυτὴν L.

F. 18. Ἄλλη σκέψις, in mg. περὶ νοσούντων

Ἔστω μὲν ὡροσκόπος ὁ ἰατρός, τὸ δὲ μεσουράνημα ὁ κάμνων, τὸ δὲ δῦνον ἡ νόσος, τὸ δὲ ὑπόγειον ἡ θεραπεία. ἐὰν οὖν κακοποιὸς ὡροσκοπῇ, οὐδὲν ὠφελήσει ὁ ἰατρὸς τὸν κάμνοντα, ἀλλὰ καὶ βλαβήσεται ὁ κάμνων ὑπ' αὐτοῦ· ἐὰν δὲ ἀγαθοποιὸς ὡροσκοπῇ, ὠφελήσει τὸν κάμνοντα ὁ ἰατρὸς, [ἐὰν δὲ ἀγαθοποιὸς] ἢ καὶ δίχα τοῦ ἰατροῦ αὐτομάτως ἡ νόσος ῥαΐσει. ἐὰν δὲ κακοποιὸς μὲν ὡροσκοπῇ, ἀγαθοποιὸς δὲ εἴη ἐν τῷ ὑπογείῳ κέντρῳ, δηλοῖ ὅτι ὁ μὲν πρῶτος ἰατρὸς κἂν μάλιστα εἴη ἐπιστήμων, οὐδὲν δύναται ὠφελῆσαι τὸν κάμνοντα, ἄλλος δέ τις ὕστερον ἐλθὼν ἰατρὸς ὠφελήσει. τὸ δὲ ὑπὸ γῆν κέντρον ὁρῶν, σκόπει τὸν ἐπόντα [ϛ] αὐτῷ ἀστέρα πότερον ἰδιοθρονεῖ ἢ οὔ· εἰ

1 post σκέψις : περὶ τοῦ αὐτοῦ L′. 2 Ὁ μὲν ἰατρὸς ἐκ τοῦ ὡροσκόπου λαμβάνεται, ὁ δὲ κάμνων ἐκ τοῦ μεσουρανήματος, ἡ δὲ νόσος ἐκ τοῦ τριγώνου, ἡ δὲ θεραπεία ἐκ τοῦ ὑπογείου L′. 4 ὁ ἰατρὸς οὐδὲν οἰήσεται (ωήσεται <sic> cod.) ὠφελῆσαι τὸν κάμνοντα ἀλλὰ καὶ μᾶλλον δόξει βλάψειν αὐτόν L′. 5 ὠφέλιμος ἔσται L′. 6 ἐὰν δὲ ἀγαθοποιός uncis inclusi. ἢ καὶ δίχα τοῦ ἰατροῦ om. L′. 7 δὲ om. L μὲν om. L. 8 ὑπὸ γῆν κέντρω L. 10 ἰατρὸς post τις L′. 11 ὄντα L′. ϛ om., ἐν add. ante αὐτῷ L′.

μὲν γὰρ εἴη εἰς ἴδιον τρίγωνον ἢ οἶκον, ἔσται αὐτόχθων ὁ ἰατρὸς καὶ οὐ ξένος· εἰ δὲ εἰς ἀλλοτρίους τόπους εἴη, ἔσται ὁ ἰατρὸς ξένος. φησὶ δὲ ὁ Δωρόθεος καὶ ταῦτα τὰ σχήματα ἐπικίνδυνα εἶναι, οἷον τά τε ἑβδομαδικὰ καὶ ἐννεαδικὰ τῶν κλιμακτήρων· εἰ γὰρ αἱ συναγόμεναι, φησίν, ἡμέραι ἀπὸ τῆς γενέσεως αὐτῆς τοῦ νοσοῦντος ἕως τῆς κατακλίσεως καὶ μεριζόμεναι παρὰ τὸν ζ' καταλήξωσιν εἰς τὸν ζ' ἢ μεριζόμεναι παρὰ τὸν θ' καταλήξωσιν εἰς τὸν θ', κλιμακτὴρ ἔσται τῇ γενέσει ἐκείνῃ· ᾗ ἐὰν κατάρξηται νοσεῖν, ἐπικινδύνως νοσήσει. σκοπεῖν δέ φησιν ὁ αὐτὸς καὶ τοῦτο· λαβὼν ἀπὸ τοῦ κατὰ γένεσιν Ἡλίου ἐπὶ τὴν κατὰ γένεσιν Σελήνην τὸν τῶν ζῳδίων αὐτῶν τοῦ διαστήματος ἀριθμόν, συναριθμῶν καὶ αὐτὰ τὰ ζῴδια ἐν οἷς εἰσιν ἐξ ἀρχῆς οἱ δύο φωστῆρες, ἔχων οὖν, ὡς εἴρηται, τὴν τοιαύτην τῶν ζῳδίων ποσότητα, λάβε καὶ τὰς ἀπὸ τῆς ἀρχῆς τῆς γενέσεως ἕως τῆς κατακλίσεως ἡμέρας, καὶ ταύτας μέρισον παρὰ τὴν ποσότητα τῶν ζῳδίων, ὡς εἴρηται· καὶ ἐὰν ἀπαρτίζῃ ὁ ἀριθμὸς οὗτος τῷ πλήθει τῶν ἡμερῶν, ὁ κατακλιθεὶς ἐπικινδύνως νοσήσει. καὶ ἄλλως δέ φησι· σκόπει τὴν τῆς κατακλίσεως Σελήνην· ἐὰν γὰρ τύχῃ ἢ ἐν τῷ δ' τόπῳ τῆς γενέσεως ἢ ἐν τῷ ς' ἢ ἐν τῷ η', ἢ ἔνθα ἦν ἡ Σελήνη αὐτὴ κατὰ πῆξιν, κινδυνώδη τὴν νόσον καὶ ταῦτα ὑποφαίνει. σκοπεῖν δὲ δεῖ, φησί, τούς τε β' ἡλίους, τόν τε κατὰ πῆξιν καὶ τὸν κατὰ πάροδον, καὶ ἔτι τὴν παροδικὴν Σελήνην τῆς κατακλίσεως· καὶ ἐὰν αὐτὴ ἡ Σελήνη πρὶν ἑαυτὴν τετραγωνίσαι συνάψῃ τινὶ τῶν ἡλίων, ἐλαφροτέραν τὴν νόσον δηλοῖ· ἐὰν δὲ πρὸ τοῦ συνάψαι τινὶ τῶν ἡλίων ἑαυτὴν τετραγωνίσῃ, φαῦλον τὸ σημεῖον. ὁ δὲ Ἰουλιανὸς καὶ ταῦτα προστίθησι· τελευτήσουσι, φησί, οἱ νοσοῦντες οἷς τὰ φῶτα ἐν τοῖς ἐκλειπτικοῖς τόποις ἐκακώθη, ἢ ἐφ ὧν Κρόνος καὶ Ἄρης ἐν τοῖς ἐκλειπτικοῖς ὄντες τοῖς φωσὶν ἐμαρτύρησαν, καὶ μάλιστα λοιμώδη νοσούντων νόσον· τὸ δ' αὐτὸ καὶ ἐπὶ πολεμούντων καὶ πλεόντων γίνεται, ἀπόλλυνται γὰρ ὀχλικῶς. κἂν πρηστῆρος ἢ πυρὸς ἢ κατακλυσμοῦ ἢ χειμῶνος μεγάλου καταρχὴ ὑπὸ τοιούτῳ γένηται σχήματι, κοινὴν τὴν φθορὰν σημαίνει. εἰ δὲ κομήτης ἢ δοκὶς ἤ τι τοιοῦτο φανείη***. καὶ ἐν τροπικοῖς Κρόνος Ἄρης στηρίζοντες

1 ἴδια L'. οἴκους L'. 2 εἴη om. L'. 3-9 descripserat etiam W. K. 6-7 καταλήξουσιν L'. 8 ἢ L : ἐν ᾗ L'. 10 τῆς διαστάσεως L. 12 ἔχων οὖν-ποσότητα om. L'. 14 ὡς εἴρηται om. L'. 15 τὸ πλῆθος L'. 17 τῆς γενέσεως om. L'. 18 ἢ etc.] ἦν δὲ καὶ ἐν τῇ κατὰ τὴν γένεσιν πῆξει ἔν τινι τούτων ἐν ᾧ καὶ κατὰ τὴν κατάκλισιν, κινδυνώδης ἔσται ἡ νόσος καὶ ἔτι ταῦθ' ὑποφαίνει L'. 19 δὲ om. L'. τε om. L'. post κατὰ : τὴν L'. 20 post πῆξιν : τῆς γενέσεως L'. ante πάροδον : τήν, post πάροδον : τῆς κατακλίσεως L'. 22 ἐνὶ L'. 23 τινὶ] ἐνὶ L'. V. 24-27 descripserat quoque W. K. 24 τελευτῶσι L'. φησι οἱ νοσοῦντες om. L, δὲ καὶ L, om. L'. 25 ἐφ' om. L. 26 ὁ ante Κρόνος et ante Ἄρης L'. 27 post μάλιστα : ἐπὶ τῶν νόσων λοιμώδην νοσούντων σκοπεῖν δεῖ L'. 28 γίνεται om. L'. post γὰρ : ἐφ' ὧν τοιαῦτα συνίστ<ατ>αι χρήματα ὁμοίως κἂν L'. 28-9 ἢ πυρὸς om. L'. 30 δόκησις L'. Lyd. de ost. 169, 20 Wachsm. cont. Kroll. 31 τι post τοιοῦτο L'. Lac. signavi. Κρόνος δὲ καὶ Ἄρης ἐν τροπικοῖς ζῳδίοις ὄντες τε καὶ στηρίζοντες L'.

λόγον ἔχοντες πρὸς τὴν καταρχήν, ἀπαραβάτως ἀποτελοῦσι τὸ κακόν, καὶ μάλιστα Κρονικῆς ἢ Ἀρεικῆς οὔσης τῆς νόσου. προσέχειν δὲ δεῖ μὴ αἵματος ἐκβολὴν ὁ Ἄρης ποιησάμενος σώσῃ· πολλάκις γὰρ τοῦτο γίνεται ὅταν ἀγαθοποιοῦ δύναμιν ἔχων ὑπὸ Διὸς ἢ Ἀφροδίτης μαρτυρῆται. ἔτι δὲ περὶ τῶν αὐτῶν ῥητέον ἔκ τε τῶν ἰατρομαθηματικῶν Ἑρμοῦ καὶ Πετοσίρεως καὶ ἐκ τῶν συναγωγῶν Πρωταγόρου· φασὶ δὲ καὶ οὗτοι· τὰς περὶ κατακλίσεων καταρχὰς λαμβάνειν χρὴ ἀπό τε τῆς Σελήνης καὶ τῆς πρὸς τοὺς ἀστέρας καὶ τὸν Ἥλιον αὐτῆς κοινωνίας· προσεκτέον δὲ μάλιστα ταῖς τοιαύταις καταρχαῖς ὅπως, κἂν ἐλλείπῃ ἢ καὶ ἄγνωστα ᾖ τὰ τῆς ἐκτέξεως, διὰ γοῦν τῶν κατὰ καιρὸν παροδικῶν κινήσεών τε καὶ σχηματισμῶν τῶν ἀστέρων εὐστόχως τὰ τῆς προγνώσεως προβῇ. ἐπιτηρήσομεν οὖν τὰς ἰσχυρὰς φάσεις τῆς Σελήνης· αὗται δέ εἰσι· σύνοδος, διχότομος α′, πανσέληνος, διχότομος β′, ἔτι μὴν καὶ οἱ σύνδεσμοι· προσέξομεν δὲ τοῖς ἀριθμοῖς αὐτῆς τοῦ τε μήκους καὶ τοῦ πλάτους, καὶ πότερον ἀφαιρεῖ ἢ προστίθησι τοῖς ἀριθμοῖς τούτοις· καὶ τὸν οἰκοδεσπότην δὲ τῆς φάσεως ὁρατέον μὴ καθυπερτερῶν αὐτὴν τύχῃ ἢ διαμετρῶν, μεταβολὰς γὰρ καὶ ποικίλα τὰ νοσήματα ἀπεργάζεται. παραφυλακτέον δὲ τὰ τετράγωνα πρὸς ἄλληλα τῶν φώτων ἢ καὶ τῶν συνδέσμων, ἰσχυρὰ γὰρ ἡ τούτων ἐνέργεια, καὶ σφαλερὰ ἡ ἐξ αὐτῶν κατάκλισις· ἀκινδυνώτερα δὲ σχήματα τὰ σύμφωνα, τά τε τρίγωνα καὶ τὰ ἑξάγωνα. ἀποτελοῦσι δ᾽ αἱ κοινωνίαι τῶν ἀκτίνων πρὸς μὲν Κρόνον ψύξεις καὶ ἀπεψίας καὶ ῥευματισμοὺς καὶ ῥίγη καὶ φλέγματος ἐπαύξησιν· πρὸς δὲ τὸν Δία, ἀπὸ πληθώρας ἢ ἀπὸ ἥπατος ἢ ἄρθρων ἢ ποδῶν τὴν ἀρχὴν τῆς νόσου συνίστησιν· ἐὰν δὲ Ἄρης ἐφορᾷ τὴν Σελήνην, ἀπὸ χολῆς ἢ πυρετοῦ ἢ τετραπόδων αἰτίας ἢ πληγῆς· ἐὰν δὲ Ἀφροδίτης, ἀπὸ πνεύμονος ἢ σπληνὸς ἢ ἀγρυπνίας ἢ μέθης· ἐὰν δὲ Ἑρμῆς, χόλου ἢ δυσεντερίας ἢ ὠταλγίας ἢ σταφυλῆς ἢ ὀδόντων ἢ παρισθμίων ἀλγήματα παρέχει· Ἥλιος δέ, καρδιακῆς νόσου αἴτιος· ἔσθ᾽ ὅτε δὲ καὶ ἀπὸ ἀλουσίας ἢ καύσωνος παρέχει τὰς τῆς νόσου ἀφορμάς. ἁρμόζουσι δ᾽ αἱ προσαγόμεναι βοήθειαι κατὰ τὴν τῶν ζῳδίων φύσιν ἐν οἷς καταλαμβάνεται ἡ Σελήνη ἐπὶ τῆς συναισθήσεως· ἀποφλεγματισμοῖς μὲν ἐν Κριῷ καὶ Λέοντι καὶ Τοξότῃ· καθάρσεσι δὲ καὶ ἐμέτοις ἐν Καρκίνῳ Σκορπίῳ Ἰχθύσιν· διουρητικοῖς δὲ καὶ σικύαις ἐν Διδύμοις Ζυγῷ Ὑδροχόῳ· χρῆσθαι δὲ δεῖ φλεβοτομίαις ἐν Κριῷ Ταύρῳ Τοξότῃ, περιπάτοις ἐν

1 ἔχουσι L′. 4 ἔχων] σχῇ L′. ἢ om. L. 4-5 μαρτυρούμενος L′. 5 post ῥητέον: καὶ ταῦτα L′. 6 καὶ alt. om. L. 7 φασιν οὖν L′. καὶ om. L. 10 post ἐκτέξεως: γινώσκομεν L′. διαγνοῦν codd., corr. Kroll. κατὰ om. L. κατὰ τὸν παροδικὸν καιρὸν L′. 14 post ἔτι: γε L′. τοὺς συνδέσμους, προσεκτέον L′. τοῖς] καὶ L′. 15 ἀφαιρῇ codd. 21 τὰ σύμφωνα σχήματα, ἤγουν τὰ L′. τὰ tertium om. L. 25 ante Ἄρης: ὁ L′. 26 ἐὰν scripsi, ἀπὸ codd. 27 ἐὰν] ὁ L. κόλου L, ἀπὸ κωλικῆς διαθέσεως L′. 28 ἀλγ. παρέχει om. L′. 29 ἀποκαλουσίας codd., corr. Kroll. 33 ἐν om. L. 34 ante Ἰχθ.] καὶ L′. ἐν om. L. ante Ζυγῷ et ante Ὑδροχόῳ: καὶ L′. 35 χρῆσθαι δὲ δεῖ om. L′. post φλεβοτομίαις: δὲ ἐν L′. ante Τοξότῃ: καὶ L′. ἐν alt. om. L.

Ἰχθύσιν, γυμνασίοις ἐν Διδύμοις, αἰώραις ἐν Τοξότῃ, ὀσφρητικοῖς ἐν Ταύρῳ, ἀποφλεγματισμοῖς ἐν Αἰγόκερῳ. κατὰ δὲ τὴν τῶν θεωρούντων ἀστέρων συμπάθειαν καὶ τὰς τροφὰς παραλαμβάνειν χρή· ἐν Κρόνῳ μὲν λαχάνοις, Ἑρμῇ δὲ ὀρνιθίοις, Ἄρει δὲ σαρξίν, Ἀφροδίτῃ δὲ ὀσφρητικοῖς καὶ ὀπώραις καὶ καταπλάσμασι καὶ ῥοφήμασιν, οἴνου δὲ δόσει ἢ ψυχροῦ ἢ ἀντιδότῳ ἐν Διί. Ἡλίου δὲ μαρτυροῦντος χρηστέον ἐμέτοις καὶ ἀποσιτίαις ἢ καὶ μεταβάσεσι τόπων ἢ ἀλλαγαῖς διαίτης ἢ λουτροῖς ἢ ἀπαντλήμασιν. αἱ δ' ἐπίσημοι ὧραι τῶν κατακλίσεων παρεφυλάχθησαν, ἡμέρας μὲν α' <καὶ> β' καὶ γ' καὶ δ' καὶ ε' καὶ ϛ' καὶ ζ' καὶ ιβ', νυκτὸς δὲ α' β' ϛ' η'. ἡ δὲ Σελήνη αὔξουσα τοῖς ἀριθμοῖς ἐν τῇ πρώτῃ διχοτομίᾳ καὶ λύουσα σύνδεσμον περὶ τὴν πανσέληνον γενομένη, τῷ κακουμένῳ ἐπάγει τὸ τέλος· ἐὰν δὲ κατὰ ἀφαίρεσιν ᾖ κινουμένη ὁμοίως ἐν τῇ πρώτῃ διχοτόμῳ μετὰ τοῦ καὶ λύειν σύνδεσμον, περὶ τὴν πανσέληνον τὰ τῆς ὑγιείας ἀποκαθίστησιν· συσχηματιζομένη δὲ Ἄρει καὶ Ἡλίῳ, τὰ μέγιστα κινουμένη, ἐπαύξει τὴν νόσον, καὶ τὸν κίνδυνον ἐπάγει περὶ τὸ τετράγωνον ἢ *** σχῆμα· Κρόνῳ δέ οὕτως συσχηματισθεῖσα, ἀκινδύνους τὰς νόσους ἀποτελεῖ· ἐὰν δὲ Κρόνῳ συσχηματισθῇ, ἀφαιροῦσα τοῖς ἀριθμοῖς, ἐπισφαλέσι περιβάλλει νόσοις· ὥσπερ Ἡλίῳ καὶ Ἄρει, ἀφαιροῦσα τοῖς ἀριθμοῖς ἢ τῷ φωτὶ περὶ τὸ τετράγωνον πάλιν ἐπάγει τὴν ὑγίειαν. αἱ δὲ καταρχόμεναι νόσοι ἐν ταῖς ἐκλείψεσιν Ἡλίου καὶ Σελήνης χαλεπαὶ σφόδρα καὶ δυσφύλακτοι τυγχάνουσιν. αἱ δὲ χρήσιμοι ἡμέραι ἀσφαλεῖς ἔσονται μετὰ τῶν ἀγαθοποιῶν, ἐπικίνδυνοι δὲ μετὰ τῶν κακοποιῶν, καὶ μάλιστα ὅταν ἐν συνόδοις ἢ πανσελήνοις ἡ κατάκλισις ᾖ· φθειρόμενοι γὰρ ἐπὶ πολὺ ἀναλίσκονται κακῶς. αἱ δέ ἀνατολαὶ σύμφοροι Κυνός τε καὶ Ὠρίωνος καὶ τῶν ἄλλων κοινῶν ἀστέρων, ἀσύμφοροι δὲ αἱ δύσεις. ὡροσκοπούντων δὲ Ταύρου ἢ Παρθένου ἢ Αἰγόκερω ἢ Ἰχθύων καὶ τῆς Σελήνης οὔσης ἐν αὐτοῖς, οὐ χρὴ χειρουργεῖν, ὡς καὶ ἐν τοῖς φθάσασιν εἰρήκαμεν· σπασμὸς γὰρ ἐπακολουθήσει. τὰ δὲ δωδεκατημόρια τῶν κακοποιῶν καὶ τῆς Σελήνης εἰς ταὐτὰ περιιστάμενα, μοχθηρὰς καὶ ἀναιρετικὰς τὰς κατακλίσεις σημαίνουσιν· ὑγιείας δὲ σημαντικὰ τὰ τῶν ἀγαθοποιῶν. πάντοτε δ' ἡ Σελήνη καταβαίνουσα ἀπὸ τοῦ συνδέσμου καὶ συναντῶσα ἐγγὺς κακοποιῷ, βιοθανασίαν ἀπεργάζεται. αὐτάρκως καὶ ἐνταῦθα ἀφηγησάμεθα ἐκ τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων περὶ

1 ante Διδύμοις : ἐν om. L. αἱ ὧραι L. ante Τοξοτῃ : ἐν om. L. post ὀσφρητικοῖς : ἐν om. L. 2 post ἀποφλεγματισμοῖς : ἐν om. L. 5 ὀσφαντικοῖς L'. 6 Ζεὺς δὲ οἴνου δόσει L'. ἐν Διὶ scripsi, ζ' L. 8 καὶ ante ἀλλαγαῖς L'. 9-10 omnes καὶ om. L', prius suppl. 11 διχοτόμῳ L'. 12 γινομ. L. ἐπείγει L'. 16 post ἢ lac. sign. : ἢ del. Kroll. 17 δὲ prius om. L. 22 κρίσιμοι L. 23 ἐπικίνδυνοι δὲ μετὰ τῶν κακοποιῶν in marg. add. m. 1ª L'. 26 κοινῶν om., spatium vacuum L'. 30 ταὐτ* L. 34 καὶ] μὲν οὖν L'. ἐκ τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων περὶ κατακλίσεως post ἐνταῦθα L'. post αφηγησάμεθα explic. cap. : τὰ προσήκοντα· εἰ δὲ καί τι παραλέλειπται τοὺς εὐεπιβόλους ἐκ τούτων εὑρεῖν ἔστι καὶ τὰ ὑπολειφθέντα ἃ διὰ τὸ μῆκος τῆς γραφῆς παρελείφθησαν L'.

κατακλίσεως· ἐκ γὰρ τούτων ἔστιν εὑρεῖν τοὺς εὐεπιβόλους καὶ εἴ τι ὑπολείπεται παραληφθὲν διὰ μῆκος συγγραφῆς. [A. O.]

F. 20. Μέθοδος δι' ἀριθμῶν περὶ τοῦ προγνῶναι τὸν νοσοῦντα εἴτε ζήσει μετὰ ὑγιείας εἴτ' ἐπικινδύνως, εἴτε ἀποθανεῖ.

Φιλοκαλίας δὲ χάριν ἐκκείσθω πρώτη μὲν ἡ ὑφ' Ἑρμοῦ εἰς ἀνθρώπους ὑποδειχθεῖσα ἡμερῶν διαίρεσις· ἕψονται δὲ ταύτῃ αἱ ὑπὸ Πετοσίρεως καὶ Πυθαγόρου ἐξευρεθεῖσαι μέθοδοι. ὁ οὖν Τρισμέγιστος Ἑρμῆς συμβουλεύει ἀριθμεῖν ἀπὸ τῆς τοῦ Κυνὸς ἀνατολῆς, τουτέστιν Ἐπιφὶ κε' κατὰ Ἀλεξανδρέας, ἕως τῆς ἡμέρας τῆς κατακλίσεως καὶ τὸν συναχθέντα ἀριθμὸν μερίζειν παρὰ τὸν λϛ', τὰς δὲ ὑπολειφθείσας ὁρᾶν ἐν τῷ ὑποκειμένῳ κανόνι ποίῳ στίχῳ συμπίπτουσιν καὶ ποίῳ τῷ ἐπ' εὐθείας στοιχείῳ. τὸ μὲν γὰρ ζ' ζωὴν δηλοῖ, τὸ δὲ κ' κίνδυνον, τὸ δὲ θ' θάνατον. [A. O.]

4-5 εἰς ανθρώπους om. L'. 5 ἡμερῶν] δια <γινων><> in ras. L'. 6 καὶ] ἐπὶ δὲ καὶ ||ʿ ὑπὸ L'. ἐξευρεθεῖσαι μέθοδοι om. L'. 7 ἐπιτολῆς L'. 8 in mg. evan. τουτέστιν Ἰουλίου ιθ' (?). ἕως τῆς ἡμέρας om. L'. 9 περιλειφθείσας L'. 10 post καὶ: τὸ παρακείμενον στοιχεῖον τῷ τοιούτῳ ἀριθμῷ εἰς γνῶσιν τοῦ ζητουμένου λαμβάνειν τὸ L'. 10-11 ποίῳ τῷ ἐπ' εὐθείας στοιχείῳ τὸ om. L'. 11 post ζ': στοιχεῖον L'.

F. 22v. Καταρχαὶ κατὰ Ζηνάριον[1].

Ἐκκείσθω δὲ καὶ κατὰ Ζηνάριον πῶς τινες πηγνύουσι τὰς καταρχὰς ὑπὲρ τοῦ μὴ λανθάνειν τὸν κατ' αὐτοὺς τρόπον· ζητήσαντες γὰρ τὴν ἡμέραν τῆς ἐν Καρκίνῳ συνόδου, ἀπ' ἐκείνης ἀριθμοῦσιν ἕως τῆς ζητουμένης ἡμέρας καὶ τὸν συνηγμένον ἀριθμὸν παρὰ τὸν ζ' μερίζουσιν καὶ τὰς ὑπολοίπους ἀναλύουσιν ἀνὰ μονάδα· πρώτην Κρόνῳ, δευτέραν Ἄρῃ, τρίτην Ἀφροδίτῃ, τετάρτην Σελήνῃ, πέμπτην Διί, ἕκτην Ἡλίῳ, ἑβδόμην Ἑρμῇ· ἐφ' ὃν οὖν καταλήξῃ ὁ ἀριθμός, τοῦτον κυριεύειν τῆς ἡμέρας καὶ πολεύειν λέγουσιν. τῆς δὲ ὥρας τῆς καταρχῆς τὸν διέποντα οὕτως λαμβάνουσιν· τὴν πρώτην ὥραν αὐτῷ τῷ πολεύοντι δίδόασιν, τὴν δὲ δευτέραν οὕτως· εἰ τύχοι Κρόνος πολεύων, Κρόνῳ τὴν πρώτην ὥραν, τὴν δὲ δευτέραν Σελήνῃ διδόασιν, τὴν δὲ τρίτην Ἑρμῇ, τετάρτην δὲ Ἄρει, πέμπτην δὲ Ἡλίῳ, ἕκτην δὲ Ἀφροδίτῃ, ἑβδόμην Διί, ὁμοίως τὴν ὀγδόην Κρόνῳ καὶ τὰς λοιπὰς τοῖς ἑξῆς κατὰ τὴν προειρημένην ἀκολουθίαν τῶν διεπόντων. εἰ δὲ Ἄρης πολεύοι, τῇ αὐτῇ τάξει οὕτως·

P(arisinum) 1991, s. XV (f. 49r) contulit Cumont. 6 subaudi διδόασιν (cf. infra) πρώτῳ, δευτέρῳ etc. cod. 8 ἐφ' ὧν P. καταλίξῃ P. 10 τὴν δὲ πρώτην L. τῷ om. P. 11 εἰς τύχοι P. πολεύον P. τὴν πρώτην κ. τ. λ. τὴν ubique scribendum vel omittendum sicut et vv. 15 sqq. 12 οὕτως codd., Ἑρμῇ corr. Kroll.

[1] De Zenario nihil compertum habemus.

τὴν πρώτην Ἄρει, δευτέραν Ἡλίῳ, τὴν τρίτην Ἀφροδίτῃ, τετάρτην Διί, πέμπτην Κρόνῳ, ἕκτην Σελήνῃ, ἑβδόμην Ἑρμῇ, ὀγδόην δὲ πάλιν Ἄρει καὶ ἑξῆς ἀκολούθως. τὸ δὲ ὡροσκοποῦν ζῴδιον ἱδρύουσιν οὕτως· ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος ἑκάστῳ νέμουσι μίαν ὥραν κατὰ τὸ ἑξῆς καὶ εἰς ὃ ἂν ζῴδιον ἐκπέσῃ ἡ τελευταία ὥρα, ἐκεῖνο ὡροσκοπεῖν ὁρίζουσιν. ὁπόθ' ὁ διέπων κατὰ πάροδον τὴν κοσμικὴν τύχοι, ἐκεῖ πήγνυται αὐτοῖς Κρόνος· εἰς δὲ τὸ ἕκτον ἀπὸ τούτου Ἄρεα τιθέασιν, ἀπὸ δὲ Ἄρεως εἰς τὸ τέταρτον Ἀφροδίτην, ἀπὸ δὲ Ἀφροδίτης εἰς τὸ δεύτερον Σελήνην, καὶ ἀπὸ Σελήνης ἐν τῷ ἑβδόμῳ Δία, ἐν δὲ τῷ πέμπτῳ ἀπὸ Διὸς Ἥλιον, ἀπὸ δὲ Ἡλίου ἐν τῷ τρίτῳ Ἑρμῆν, καὶ ἀπὸ τῶν ὑποθετικῶν τούτων σχημάτων καὶ τῶν τοπικῶν τούτων διακρίσεων καὶ τῆς φύσεως τῶν ζῳδίων τὰ τῆς καταρχῆς μαθηματικῶς ἀστρολογοῦσιν. τόν τε πολεύοντα καὶ τὸν διέποντα ἐπισκοποῦσιν ὅπως ἔτυχεν καί ὑπὸ τίνων μαρτυρεῖται καὶ οὐκ ἀσκόπως ἀποφαίνονται. ἔστω δὲ καὶ ὑπόδειγμα τῶν εἰρημένων· ἔστω συνάγεσθαι ἀπὸ τῆς ἐν Καρκίνῳ συνόδου ἡμέρας ροζ'· μερίζω παρὰ τὸν ζ'· ὑπολείπονται β', ὡς συμβαίνειν Ἄρην πολεύειν τὴν ἡμέραν ἐκείνην, εἶναι δὲ ὥραν δεδομένην τετάρτην ὡς συμβαίνειν διέπειν Δία, Ἥλιον δὲ κοσμικῶς ἐν Ὑδροχόῳ· τὸ οὖν ὡροσκοποῦν ζῴδιον ἔστω τῆς τετάρτης ὥρας Ταῦρος, καὶ ἐπεὶ ὁ Ζεὺς ὁ διέπων κατὰ πάροδον ἔτυχεν Ταύρῳ, ἔσται Κρόνος Ταύρῳ καὶ Ἄρης Ζυγῷ, ἡ δὲ Ἀφροδίτη Αἰγόκερῳ, ἡ δὲ Σελήνη Ὑδροχόῳ, Ζεὺς δὲ Λέοντι, Ἥλιος δὲ Τοξότῃ ὁ δὲ Ἑρμῆς Ὑδροχόῳ.

[A. O.]

2 ἕκτην Σελήνῃ P : ἐκ τῆς Σελήνης L. 4 νέμουσιν οὕτως ἀπὸ τοῦ ζωδίου ἐν μίαν P. 6 ὁποθ'] ὅπου coni. Kroll. 7 εἰς] εἰ codd., corr. Kroll. 14 οὐ κατασκόπως codd. : corr. Kroll.

F. 58v. Θεοφίλου ἐπισυναγωγὴ περὶ κοσμικῶν καταρχῶν[1].

α'. Τὴν τοῦ ἔτους ἀρχὴν οἱ παλαιότατοι τῶν Αἰγυπτίων καὶ σοφώτατοι ἀστεροσκόποι ἐκ τῆς τοῦ Κυνὸς ἐπιτολῆς ὥρισαν εἶναι· καίτοι διασκεψάμενοι τὴν τῆς Σελήνης ἐποχὴν καὶ τὴν τῶν λοιπῶν ἀστέρων μοιροθεσίαν ἐκ τούτων ἁπάντων καὶ τῆς αὐτῶν σχηματογραφίας τὸ

E cod. Laur. 28, 34 (A) f. 58v et Laur. 28, 13 (B) f. 143r descripsit et contulit Wuensch; cum B ita consentit, ut ex eo descriptus videatur, Marc. 335, f. 336r, quem inspexit Kroll. 1 τοῦ αὐτοῦ θ. etc. sic A, θ. περὶ καταρχῶν B.

[1] De Theophilo, Thomae filio, Edesseno, homine perinde graecae atque syriacae linguae perito, propter astrologiae scientiam Chaliphae Almahdio acceptissimo, Bagdadae ann. 785 p. C. n. mortuo, cf. Wenrich, *De auctorum graecorum versionibus*, 1842, pp. 14, 73; Whright, *Syriac Literature*, 1894, p. 163 sqq. et *supra*, p. 83, n. 4. — De operibus Theophili copiosius in catalogo Parisino disputabimus. Vide codd. Paris. 2417, f. 4v s.; 2506, f. 108 ss. et cf. cod. Vatican. 212, f. 205 ss.; cod. Angelican. 29, f. 275 ss.

τοῦ ἔτους (f. 59r) ἀποτέλεσμα ἔφασκον γεγενῆσθαι. [καὶ] ταῦτα μὲν οὖν οὐ κατὰ φυσικόν τι θέσπισμα καὶ πιθανὸν ἔχον ὑπόδειγμα, ἀλλ' ἐπειδήπερ ἡ τοῦ Νείλου ἀνάβασις κατ' ἐκεῖνον τὸν καιρὸν γίνεται κατὰ τὴν τῶν Αἰγυπτίων χώραν καὶ πελαγίζει τὴν Αἴγυπτον, διὰ τοῦτο ταύτῃ τῇ ἀρχῇ τοῦ ἔτους ἐχρήσαντο. ἀλλ' αὕτη ταῖς λοιπαῖς τῆς καθ' ἡμᾶς οἰκουμένης χώραις οὐ συμβάλλεται. οἱ δὲ μεταγενέστεροι ὡς ἠκριβωκότες τὴν φυσικὴν γνῶσιν καὶ δι' ἰσχνῆς θεωρίας ταύτης μετειληφότες, οἱ κατὰ τοὺς Ἕλληνας, φημί, μαθηματικοὶ τὴν νεομηνίαν τοῦ ἔτους τεθεσπίκασιν, ὅταν ὁ Ἥλιος εἰς τὴν ἀρχὴν τοῦ Κριοῦ παραγένηται, σκεψάμενοι τὸ ὡροσκοποῦν ζῴδιον καὶ τὰς ἐποχὰς τῶν πλανήτων ἀστέρων μετὰ καὶ τῆς τῶν ἀπλανῶν καὶ τὰ κέντρα ὡς ἐπὶ γενέσεως πεπήγασι καὶ οὕτω τὸ τοῦ ἔτους ἀποτέλεσμα προειρήκασιν. ὁ δὲ σοφώτατος Πτολεμαῖος λεπτομερεστέρᾳ τῇ μεθόδῳ κέχρηται πρὸς τὴν τοιαύτην πρόγνωσιν, ταῖς τέσσαρσι τροπαῖς τοῦ ἐνιαυτοῦ, φημί, ἤτοι ταῖς προγινομέναις τῶν τροπῶν συνόδοις τε καὶ πανσελήνοις καὶ τοῖς τούτων οἰκοδεσπόταις μετὰ τῆς τῶν κέντρων πήξεως καὶ τῆς τῶν συνανατελλόντων ἀπλανῶν δυνάμεως. οἱ δὲ κατὰ τὴν ἑῴαν ἅπασαν Περσῶν σοφίας ἐρασταὶ τὰς Ἑλληνικὰς βίβλους τῇ ἑαυτῶν μεταφράσαντες γλώττῃ τῷ ἐνιαυσιαίῳ καὶ μόνῳ κανόνι ἐχρήσαντο ἤγουν τῷ ἐκ τῆς τοῦ Ἡλίου εἰς τὴν ἀρχὴν τοῦ Κριοῦ ἐποχῆς, καθάπερ Κριτόδημος καὶ Οὐάλης καὶ Δωρόθεος καὶ Τιμόχαρις καὶ οἱ περὶ αὐτούς. ὅθεν κἀγώ, φιλομαθέστατε, ἀναγκαῖον ᾠήθην, μᾶλλον δὲ φιλότιμον, ταύτῃ τῇ παραδόσει κεχρῆσθαι, ἥνπερ καὶ οἱ ἀνατολικοὶ ἠσπάσαντο, τουτέστι τὴν ἐνιαύσιον γένεσιν ἤτοι τοῦ Ἡλίου εἰς τὸ πρῶτον λεπτὸν τῆς πρώτης μοίρας τοῦ Κριοῦ εἰσερχομένου κατὰ τὴν βασιλεύουσαν πόλιν ὅπου ἂν εἴη· οἱ δὲ κατὰ τὴν τῶν Σαρακηνῶν βασιλεύουσαν πόλιν, ὅπου ἀνείληφά μου τὴν ψηφοφορίαν, ἥτις ἐστὶν ἀνατολικωτέρα Βαβυλῶνος, τῆς δὲ Ἀλεξανδρείας καθὼς ἐνδοκιμάσαι ὥρας σγ' ιε', † ὅ ἐστιν ιτλ'. ὀνομάζεται δ' αὕτη Εἰρηνόπολις, τῇ δὲ τῶν Σύρων διαλέκτῳ Βαγδαδᾶ· τὸ δὲ πλάτος αὐτῆς ἐκ τοῦ ἰσημερινοῦ ἡμισφαιρίου κατὰ τὴν ἐπὶ τὰ βόρεια μέρη ἀπόκλισιν μοιρῶν λγ'. ἐπεὶ δὲ εὗρον τοὺς τῆς ἀνατολῆς σοφοὺς ἐπιτηδευομένους τὴν τοιαύτην ἐνιαύσιον τροπὴν πρὸς

1 γίνεσθαι B. ταῦτα μὲν οὖν A] πλὴν B. 2 κατά τινα λόγον καὶ τὸ πιθανὸν εὔλογον ἔχοντα τὸ περὶ τούτου ἐκανόνισαν, ἀλλ' ἐ. παρ' ἐκείνοις ἡ B. 3 κατὰ ... χώραν om. B. 4 καὶ διὰ A. 5 ἀλλ' om. A. χώρας A B, corr. Marc. 7 γνῶσιν βέλτιον καὶ διὰ λεπτοτέρας μάλιστα θ. B. 8 φημὶ ante οἱ κατὰ ponit A. τὴν τούτων νεομηνίαν om. τοῦ ἔτους A. 9 γένηται B. 10 πλανήτων om. B. 11 καὶ τὰ B] τὰ A. 12 τὰ κατὰ τὸ ἔτος ἀποτελούμενα προέλεγον B. 13 τῇ] καὶ ἔτι τῇ B. χρησάμενος B. 14 τὰς τέσσαρας τροπὰς B (ας ter in ras.). ἐν. ἀρχὰς τίθεται ταῖς προγεγενημέναις συν. καὶ π. B. 18 δυνάμεως, εἰς τὴν δήλωσιν τῶν ἀποτελουμένων χρώμενος (χρώμενος ir.) B. ἑώαν A, ἑῶαν αὖθις B. 19-20 τῷ et τῆς om. A, τῇ ἐκ τῆς ἐποχῆς τοῦ ἡ. κατὰ τὴν ἀ. τ. κρ. καθάπερ B. 21 αὐτοὺς ἐχρήσαντο A. 22 οἷς καὶ ἐγὼ ἑπόμενος ταύτῃ τῇ π. κέχρημαι B qui om. seqq. usque ad καὶ διὰ (cf. infra). 24 γένησιν A. 28 ἐδοκίμασα? 30 μαγδαδᾶ A. 31 ἀπόκλησι A. ἐπειδὴ A.

Βαβυλῶνα καὶ ἐκ τῆς τοιαύτης πραγματείας προλέγειν τὰ περὶ πολέμων καὶ αὐχμῶν καὶ ὑετηρίας καὶ βασιλέων καὶ πάσης ἐπαγωγῆς (f. 59v) ἢ συμφορᾶς συμβαινούσης κατὰ πάσας τὰς χώρας, κἀγὼ γοῦν κέκρικα τοῦτο καλῶς ἔχειν καὶ σοφῶς ἐπινοεῖσθαι, πῆξαι γενέθλιον — κοσμικόν φημι — τῆς ὅλης οἰκουμένης ἐκ τῆς βασιλευούσης πόλεως ὡς ἐκ βαλβίδος τοῦ οἰκουμενικοῦ θεάτρου, καὶ μετὰ τὴν ὡροσκοπικὴν θέσιν πάντα ὡς ἐπὶ γενέσεως πραγματεύσασθαι διὰ τῆς καλοποιῶν τε καὶ κακοποιῶν μαρτυρίας καὶ τῆς τῶν φώτων θέσεως· πλὴν τὰ κατὰ τὸν βασιλέα ἐξὸν ἡμῖν λαμβάνειν ἐκ τοῦ βασιλικοῦ κλήρου καὶ τῆς τῶν τριγωνικῶν αὐτοῦ θέσεως δεσποτῶν καὶ ἐκ τῆς μεσουρανούσης μοίρας καὶ τῶν τριγωνικῶν δεσποτῶν τοῦ μεσουρανήματος καὶ τῆς αὐτῶν θέσεως καὶ σὺν αὐτοῖς τοῦ Διός· εἶθ' οὕτως τὰ περὶ τῶν πολεμίων ἐκ τῆς τοῦ Ἄρεως θέσεως, τὰ δὲ κατὰ τὰς μεγίστας συμπτώσεις ἐκ τοῦ Κρόνου, τῇ συγκρατικῇ τε καὶ φυσικῇ τῶν ζῳδίων καὶ τῶν ἀστέρων ἀκολουθίᾳ καὶ τῇ τῶν οἰκοδεσποτῶν τοῦ ἔτους αὐθεντείᾳ κεχρημένοι μετὰ τῆς προγενομένης τοῦ ἔτους πρώτης συζυγίας ἤγουν συνόδου ἢ πανσελήνου. καὶ ἡ μὲν γενικωτάτη καὶ καθόλου τροπὴ τοῦ ἔτους ἡ ἐν τῷ Κριῷ γινομένη ἐστίν, ἰδικωτάτη δὲ καὶ ἡ κατὰ μέρος γνωριζομένη ἐστίν, ἣν ὁ σοφὸς Πτολεμαῖος εἰργάσατο, ἡ ἐκ τῶν λοιπῶν τροπῶν τῆς τε θερινῆς καὶ μετοπωρινῆς καὶ χειμερινῆς, καὶ τούτων αἱ προγινόμεναι συζυγίαι· ἡ δὲ λεπτομερεστέρα καὶ μηνιαία μετάβασις ἔκ τε τοῦ ἡλίου εἰς τὸ καθ' ἓν ζῴδιον ἐπεμβάσεως καὶ τῆς κατ' ἐκεῖνο ὡροσκοπικῆς θέσεώς τε καὶ κεντρώσεως καὶ τῆς πρὸ τούτου γινομένης τῶν φώτων συζυγίας καὶ τοῦ οἰκοδεσποῦντος αὐτῆς ἀστέρος· ταῦτα οὖν πραγματεύου ἐπὶ τῆς ἐνιαυσίαις τροπῆς καὶ τὰ ἑξῆς καὶ εἶθ' οὕτως σκέψαι τὰ ἀποτελέσματα καθὼς ὑπετάξαμεν. [W. K.]

3 rursus inc. B : καὶ διὰ τοῦτο καλῶς ἔχειν κέκρικα, πῆξαι κοσμικὸν γενέθλιον etc. 5 φημι om. B. 7 ἀγαθοποιῶν B. 8 περὶ βασιλέως A im. 12 καὶ εἰθ' A. 18 καὶ ἡ] abundat ἡ. 19 εἰργάσατο A] παρέδωκεν B. 20 μεθοπ. AB. χειμ. τὰ μένοντα (pro μέλλοντα) σκοποῦσα ἐκ τῶν πρὸ τούτων γινομένων συζυγιῶν B. 21 ἡ δέ τι (pro ἔτι) B. debet essé τε τῆς τοῦ. 22 καθ' ἕκαστον B. κατεκείνου AB. 24 καὶ om. A. τούτων οὖν πραγματευομένων ἑ. τ. ἑ. τ. ἑξῆς σκεπτόμεθα περὶ ἀποτελεσμάτων· λαμβάνεται τοίνυν etc. B pergens ad ea quae A quoque subicit inscribens : ἀποτελέσματα τοῦ ἐνιαυσιαίου χρόνου καθὼς ἐκ τῶν ἀρχαίων συνήγαγον.

F. 65. Περὶ ὑετῶν δόκιμον ἀπὸ φωνῆς Σύρου τινός[1].

Δεῖ γινώσκειν περὶ τῆς ἑκάστοτε γινομένης ἐπομβρίας ἐκ τῶν τοῦ ἔτους κυρίων καὶ ἐκ τοῦ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ καὶ τῆς

Ex codicibus Florent. 12, f. 65 (= L), Flor. 7, f. 159r (= L'). 2-3 Δεῖ — ἔτους] περὶ δὲ τῆς ἑκάστοτε γινομένης ἐπομβρίας, δεῖ σκοπεῖν ἔκ τε τῶν τοῦ ἔτους κυρίων καὶ ἐκ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ καὶ τὴν <sic> Σελήνην· ὅταν γὰρ ἢ τοὺς ἔτους L'.

[1] [Σύρος τις cui hoc fragmentum tribuitur, idem est sine dubio atque Σύρος

Σελήνης. σκόπει οὖν· ὅταν ᾖ τοῦ ἔτους ὁ κύριος κακοποιὸς καὶ ὡροσκοπῇ, <ἢ> ἐν τῷ δύνοντι τύχῃ, ἀβροχίαν σημαίνει· καὶ ὅταν ᾖ κακοποιὸς ἐπίκεντρος μὴ ἔχων λόγον πρὸς τὸ ἔτος ἀλλὰ καὶ τοὐναντίον ὅταν ᾖ ἀγαθοποιὸς ἐπί τινος τῶν κέντρων, ἕτερος δὲ κακοποιὸς ὑπὸ γῆν, ἀβροχίαν δηλοῖ· καὶ ὅταν ᾖ ὁ τοῦ Διὸς ἢ ὁ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ καὶ ἡ Σελήνη ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐν τῷ δύνοντι, ὑετηρίαν σημαίνει· ἐὰν δὲ ἐν τοῖς λοιποῖς δύο κέντροις, σύμμετρον ὑετὸν σημαίνει καὶ μάλιστα τῶν κακοποιῶν ἀποκεκλικότων. ἐὰν ᾖ ἡ Σελήνη μετὰ Ἑρμοῦ ἐν οἵῳ δήποτε ζῳδίῳ ἐπὶ ἑνὸς τῶν κέντρων καὶ μάλιστα τοῦ ὑπὸ γῆν, πανταχοῦ βροχὴν ἔσεσθαι σημαίνει· καί ὅταν οἱ ἀγαθοποιοὶ ἅμα καὶ οἱ κακοποιοὶ ἀποκλίνωσι τῶν κέντρων, μόνον δὲ Σελήνη καὶ Ἑρμῆς ἐπίκεντροι, ὑετὸν σημαίνουσι· καὶ ὅταν ᾖ κακοποιὸς μὲν ἐπίκεντρος, ἀγαθοποιὸς δὲ ἐπὶ τοῦ δύνοντος ἢ ἐν τῷ ὑπὸ γῆν, βροχὴν σύμμετρον δηλοῦσιν· τὸ δὲ ἔτι ἀκριβέστερον, ἐὰν ᾖ καὶ ὁ κακοποιὸς ἐπὶ ἑνὸς τῶν κέντρων· ὅταν δὲ οἱ κακοποιοὶ ἐπίκεντροι καὶ ἡ Σελήνη σὺν τῷ Ἑρμῇ ἢ ἐν ἀποκλίμασιν, ὑετηρίαν σημαίνουσιν· ὅταν δὲ οἱ κακοποιοὶ λόγον ἔχωσι πρὸς τὸ ἔτος, ἐνιαχοῦ μὲν ὑετίζει, ἐνιαχοῦ δ' οὔ. ὅμως χρὴ ἡμᾶς λαμβάνειν τὸν τοῦ ἔτους ἀστέρα ἤτοι τὸν σημαίνοντα τὸν ὑετόν, τὸν ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐπὶ τοῦ δύνοντος ἢ τὸν ἐκ ζῳδίου εἰς ζῴδιον τὴν μετάβασιν ποιούμενον. ἐγὼ δὲ ἐν πείρᾳ ἔσχον ὅτι ἐν οἵῳ δήποτε κέντρῳ ἐὰν εὑρεθῇ ἀγαθοποιός, δεῖ σύγκρασιν ποιεῖσθαι ἐξ αὐτοῦ καὶ ἐκ τοῦ ἐφ' οὗ ἐφέστηκε ζῳδίου. δεῖ δὲ εἰδέναι ἐν τῷ καιρῷ τῆς βροχῆς ἐπιτήδεια τάδε ζῴδια· Ἰχθύας, Κρόνον, Καρκίνον, Λέοντα, Ὑδροχόον· καὶ ἐκ τούτων τῶν ε' ὁ Λέων καὶ ὁ Ὑδροχόος πλεονάζουσιν εἰς βροχήν· ὑετοποιοὺς δὲ ἀστέρας φημὶ Σελήνην καὶ Ἀφροδίτην καὶ Ἑρμῆν· ἐκ δὲ τῶν τριῶν ὁ Ἑρμῆς

1 ὁ ante κύριος add. L'. 1-2 ὡροσκοπεῖ L, om. L', -πῇ scripsi. 2 ἢ inserui. τύχῃ, ἀβροχίαν] παροχίαν L. 4 ante ἐπὶ : μὴν L' pro τινος: ἑνου <*sic*> L. 6 ὑετηρίαν] ἐπομβρίαν L'. 7 ἐὰν δὲ] εἰ δὲ καὶ L. 7-8 σύμμετρον-σημαίνει] μέσος L. 8 ἀπὸ κεκληκότων L. 9 ἐνοιοδήποτε = l. 21 L. τοῦ om. L. 10 ἔσεσθαι] εἶναι L. 11 ἀποκλίνωσιν L. 12 post ἐπίκεντροι : ὄντες L'. σημαίνουσι] σημαίνει L. μὲν om. L. 13 τῷ] τοῦ L'. 14 δηλοῖ L'. ἔτι om. L. post ἀκριβέστερον : ὅμως ἵνα μὴ ἐστιν κακ. L. 15 post ἐπίκεντροι : ὦσι L'. 16 ὑετὸν L'. σημαίνει LL', corr. οἱ om. L. 17-18 ἐνισχοῦμενον, ὑίζει· ἐνισχοὺ δ' οὗ L : ἐνιαχοῦμενον, ὑετίζει· ἐνιαχοῦ δ' οὔ L', corr. 19 ὑετὸν] βροχετὸν L. ἐπὶ alt. om. L'. 22 ἐξ] ἔκ τε L'. ἐκ om. L'. post τοῦ] ζῳδίου L'. ἐφέστηκε] ἕστηκε L'. ζῳδίου om. L'. 22-23 δεῖ-ζῴδια] εἰσὶ δὲ ζῴδια ἐπιτήδεια εἰς βροχὴν τάδε L'. 25 καὶ τοὺς ὑετοποιοὺς ἀστέρας L. 26 καὶ prius om. L'. ἐκ δὲ τῶν] καὶ τῶν L.

---

cuius excerptum aliud de tempestatum praesagiis ex eodem codice (f. 144v) postea edemus, eoque efficitur Syrus non gentis nomen sed hominis esse. Alioquin ignotus nobis quidem est. Si quis tamen eum Syrum esse velit cui Ptolemaeus tetrabiblum suam dedicavit, libera est coniectura — Saepius hoc δοκίμιον (siccine ?) περὶ ὑετῶν in libris mss. inveniri notavit Kroll e. g. in Taurinensi CVII, 10, f. 36v. — F. C.]

ὀλιγώτερος εἰς βροχήν. ὅταν οὖν ὁ εἷς τῶν τριῶν τούτων ἔλθῃ ἐν τοῖς προειρημένοις ζῳδίοις, βροχὰς ποιεῖ, εἰ δὲ καὶ Ἀφροδίτη ἐπέμβασιν ποιοῖτο τοῖς δυσὶ τούτοις ἐν ἑνὶ τούτων τῶν ζῳδίων οὖσι, μέγας ὑετὸς γίνεται οὐ μὴν βλαπτικός· [εἴ τοί γε εἰς ἀφανισμόν, καίτοι γ' ἐπὶ τοῦ προειρημένου σχήματος ἐὰν ᾖ ἡ Ἀφροδίτη, βραδυβραδὺς ὀλιγώτερος γίνεται]· ὅταν δὲ ἡ Ἀφροδίτη καὶ ἡ Σελήνη ὦσι δίχα τοῦ Ἑρμοῦ ἐν ἑνὶ τούτων τῶν ζῳδίων, βροχὴ γίνεται σύμμετρος καὶ ὠφέλιμος· καὶ ὅταν ἡ Σελήνη ᾖ μόνη καὶ μαρτυρηθῇ ὑπὸ Ἀφροδίτης ἢ τοῦ Ἑρμοῦ, βροχὴ γίνεται καλή· εἰ δὲ καὶ ἀμαρτύρητος ᾖ ἡ Σελήνη, αὐτοὶ δὲ ὦσιν ἐν ἑνὶ τῶν προειρημένων ζῳδίων, βρέχει ἕως οὗ ἡ Σελήνη ἐξέλθῃ ἐκ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν. Ἀφροδίτη Ἑρμῆς Σελήνη δίχα τῆς τῶν κακοποιῶν μαρτυρίας ἢ συμπαρουσίας ἢ ἐπί γε τῆς ἐπαναφορᾶς αὐτῶν <ἐὰν> ὦσιν, ὑετηρίαν σημαίνουσιν· ὅταν δὲ κακοποιὸς ᾖ σὺν αὐτοῖς ἢ μαρτυρήσῃ ἢ ἐπαναφέρηται, οὐ βρέχει. Ἀφροδίτη Σελήνη καὶ Ἑρμῆς συνόντες ἀλλήλοις ἐν ἑνὶ τῶν προειρημένων ζῳδίων ἐν καιρῷ τῷ εὐθέτῳ, κἂν ὑπὸ κακοποιῶν βλάπτωνται, ἐπὶ τὴν ἀνατολὴν βρέχει. οἱ προειρημένοι ἀστέρες συνόντες κακοποιῷ, ἐκ διαλειμμάτων βρέχουσιν. ἡ Ἀρροδίτη μαρτυροῦσα τοῖς προειρημένοις πλείω δύναται ἢ ὅταν συνῇ. ὅταν δὲ ᾖ ἡ Ἀφροδίτη ἢ ὁ Ἑρμῆς ἐν Παρθένῳ καὶ Σελήνη ἐν Ταύρῳ ἢ ἐν Σκορπίῳ ἢ ἐν Ἰχθύσι, γίνεται ὑετός· καὶ ἀνάπαλιν [καὶ] ὅταν οἱ προειρημένοι ἀστέρες ὦσιν ἐν ἑνὶ τῶν βροχικῶν ζῳδίων καὶ Ἀφροδίτη καὶ Ἑρμῆς ὕπαυγοι ἢ ἀναποδιστικοί, οὐ ποιοῦσι βροχήν. καὶ ὅταν ἡ Σελήνη ἐν Ταύρῳ ᾖ ἢ Παρθένῳ καὶ διαμετρήσῃ αὐτὴν ἡ Ἀφροδίτη ταχυδρομοῦσα χωρὶς τῆς τῶν κακοποιῶν μαρτυρίας, ἐν αὐτῇ τῇ ἡμέρᾳ βρέχει καὶ μάλιστα σὺν τῷ ἀναβιβάζοντι οὔσης τῆς Σελήνης· ὅταν δὲ μετὰ τοῦ καταβιβάζοντος ἢ χωρὶς τῆς τοῦ Κρόνου μαρτυρίας, τῆς Ἀφροδίτης καὶ τοῦ Ἄρεως καὶ τοῦ Ἑρμοῦ ἐν χρονικοῖς ὄντων ζῳδίοις, βρέχει. σκόπει τοίνυν ἐν τῇ τοῦ ἔτους τροπῇ ἤγουν ὅταν εἰσέλθῃ ὁ Ἥλιος ἐν τῷ α' λεπτῷ τοῦ Αἰγόκερω πῶς κεῖται ἡ Ἀφροδίτη καὶ ὁ Ἑρμῆς, καὶ ἐὰν ὦσιν ἐν ἑνὶ τῶν προειρημένων ζῳδίων ἤγουν τῶν βροχικῶν, οἱ δὲ κακοποιοὶ οὐ βλέπωσιν αὐτούς, ὁ

1 εἰς βροχὴν om. L. ὁ εἷς] τις L'. 1-2 ἔλθῃ-ζῳδίοις] γένηται εἴς τι τῶν προειρημένων ζῳδίων L'. 2 βροχετοὺς L. καὶ] ἡ L'. 3 ποιεῖται L'. τούτων post ζῳδίων L'. οὖσι] ὄντων L. 3-4 μέγας ὑετὸς γίνεται] βροχὴ γίνεται μεγάλη L'. 4 οὐ μὴν βλαπτική L, corr. 4-6 εἴ τοί γε-γίνεται om. L', uncis secl. 6 ὦσιν L. τοῦ om. L. 7 γίνεται βροχὴ L. σύμμετρος] μέση L. 9 γίνεται βροχὴ L. 10 ἐξέλθῃ post ζῳδίου, ἐκ om. L'. 12 γε] τε codd., corr. Kroll. 13 ἐὰν inserui, εἶεν L'. ὑετὸν L'. 14 Ἀφροδίτη om. L'. 16 καὶ βλάπτονται L. ἐπὶ τὴν ἀνατολὴν βρέχει] βροχὴν ποιοῦσιν L'. 18 δύναται] ὕζει L (sc. ὑετίζει). 20 ἢ καὶ L. καὶ del Kroll. 21 βροχικῶν] ἀρχικῶν L'. καὶ] ἡ δὲ L'. 22 post ὕπαυγοι: ὦσιν, pro ἀναποδιστικοί: ὑποποδίζωσιν L'. 23 ἢ Παρθένῳ bis repet. LL'. 24 ταχυδρομοῦσα om. L'. 27 καὶ τοῦ Ἄρεως καὶ τοῦ Ἑρμοῦ] καὶ τοῦ ♂ (sc. Ἄρεως) καὶ τοῦ ♂ (sc. Ἄρεως) L'. 28 τοίνυν σκόπει L. 29 signum Virginis habent LL', corr. dubit. Αἰγόκερω <♑>. 30 καὶ ὁ om. L. 31 οἱ δὲ] καὶ οἱ L. βλέπουσιν L.

Ἥλιος δὲ καὶ ὁ Ζεὺς ἐπιθεωρῶσι, καὶ ἡ Σελήνη δὲ καὶ ὁ Ἑρμῆς ὅταν κατὰ πάροδον ἔλθωσιν εἰς τὸν τόπον ὅπου ἦν ἡ Ἀφροδίτη, ἢ Ἑρμῆς, καὶ Ἀφροδίτη εἰς τὸν τῆς Σελήνης τόπον τριγωνίζωσιν αὐτὴν ἐκτὸς τῶν κακοποιῶν, γίνεται βροχή. ὅταν δὲ μὴ ᾖ ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη ἐν ἀρχῇ τοῦ ἔτους ἐν ἑνὶ τῶν προειρημένων ζῳδίων καὶ ὑπὸ τῶν κακοποιῶν οὐ βλάπτωνται, ἔλθωσι δὲ ἡ Σελήνη καὶ ὁ Ἑρμῆς ὅπου ἦν ἡ Ἀφροδίτη, γίνεται βροχὴ σύμμετρος. ὅπερ οὖν ἐγὼ ἐδοκίμασα, ἴδε τὸ ὡροσκοποῦν ζῴδιον ἐν τῇ ἀρχῇ τοῦ ἔτους καὶ τὸ δῦνον καὶ τὸ τοῦ ἀγαθοῦ δαίμονος καὶ τὸ τοῦ κακοδαιμονήματος, κἂν ἴδῃ φθοροποιὸς τὴν Σελήνην ἐρχομένην ἐπὶ τοὺς τόπους τούτους, γίνεται ὑετός· τὰ δὲ λοιπὰ δύο κεντρα χωρὶς τῆς τῶν κακοποιῶν μαρτυρίας τὸ αὐτὸ ποιοῦσιν· ὡσαύτως δὲ καὶ ὁ Κριὸς σὺν τῷ Ζυγῷ ὑπὸ κακοποιῶν μαρτυρούμενοι, καλοὶ εἰς ὑετόν, ὡσαύτως δὲ καὶ τὸ ζῴδιον τῆς προγεγενημένης συνόδου ἢ πανσελήνου, ἐὰν εὑρεθῇ ἐκ τῶν προειρημένων ζῳδίων ἕν, τὸ αὐτὸ ποιεῖ. [A. O.]

1 δὲ prius om. L'. ἐπὶ θεωροῦσιν L. 3 καὶ Ἀφροδίτη om. L'. τόπον τῆς Σελήνης ἢ τριγωνίζοσιν L', τριγωνίζοντες L. 6 βλάπτονται, ἔλθουσι L. 7 ὅπερ οὖν] καὶ τοῦτο δ' L'. 8 τὸ alterum om. L. 9 τὸ om. L. κακοδαιμονήματος] κακοῦ δαίμονος L'. κἂν ἴδῃ] καὶ ἴδη L 10 ὑετηρία L. 12 Κριός] κύριος L. 13 προγενημένης L. 14 ἕν om. L'.

F. 66r. Περὶ καταστημάτων τῶν ζ' ἀστέρων Ἰουλιανοῦ[1].

Ὁ τοῦ Κρόνου ἀστὴρ φύσει ἐστὶν ἀμαυρότατος τὴν χροιάν, πρώτην ζώνην διαπορευόμενος, ἐν ἀέρι καταψύχρῳ καὶ δυσκινήτῳ καθεστώς, σύνεγγυς ὢν τῇ τῶν ἀπλανῶν σφαίρᾳ, πολὺ διέχων τοῦ ἡλίου, ἐν δὲ τῇ κινήσει βραδύτερος τῶν ἄλλων, τῇ φύσει κάθυγρος καὶ κατάψυχρος καὶ κρυσταλλώδης καὶ ἀνεμώδης, καὶ τοῖς δυσκράτως συγκεκραμένοις τῶν ζῳδίων συμπαθής, καὶ φθαρτικὸς ζῴων τε καὶ καρπῶν παντοίων δι' ὑπερβάλλουσαν ψῦξιν· ἐν μὲν οὖν τοῖς καθύγροις ζῳδίοις τυχὼν ποιεῖ τὴν θάλασσαν ταραχώδη καὶ ὄμβρους πολυημέρους καὶ ψύξεις καὶ ἀνέμους καὶ συμπτώσεις ἢ καὶ σεισμοὺς ἢ καὶ χάσματα· ἐν δὲ τοῖς πυρώδεσι ζῳδίοις ἀνέμων συστροφὰς καὶ λαίλαπας καὶ γνό-

Laur. 28,34, f. 66r (A) descripserunt Wünsch et Bidez. Laur. 28, 13, f 148v (B); contulit Wünsch. Cum B fere consentit Marc. 335, f. 341v quem contulit Kroll. 5 ἀέρει A, μέρει B. 4 τῆς... σφαίρας B. πολὺ δὲ δ. B. 6 ἀν. πρὸς δὲ τὰ δυσκ. συγκεκριμένα συμπ. A. 8 παντοδαπῶν A. πολυχρονίους A.

---

[1] Iuliani Laodicensis excerpta in libris mss. haud rara sunt. In Vindobonensi ph. gr. 261, f. 79r-91v invenitur Ἰουλιανοῦ Λαοδικέως ἐπίσκεψις ἀστρονομική cuius exordium et in nostro cod. 11, f. 247, c. οε' servatur. Eiusdem capitulum περὶ καταρχῶν infra (p 138) repperies. Tria fragmenta περὶ πολέμου " ex vetusto codice Vaticano " edidit Mai *Sript. vet. nov. coll.*, Romae 1827, II, 675 s. Excerptum περὶ ἀγορασμοῦ exstat in Vindob. 115, f. 159r. Marc. 334, f. 52v. Cf. Kroll, *Breslauer Abhand.*, VII, 1 (1894), p. 72. *Philologus*, N. F. XI. 1898, p. 125. Aetas celeberrimi scriptoris incerta est.

φους· ἐν δὲ τοῖς εὐκράτοις εὔκρατον καὶ νήνεμον τὴν κατάστασιν, τήν τε θάλασσαν ἀτάραχον ποιῶν καὶ τὰ ζῷα ἐπωφελῶν καὶ τοὺς καρποὺς πλουσίως τρέφων καὶ αὔξων καὶ μάλιστα ὅταν καὶ οἱ λοιποὶ ἀστέρες συμφώνως αὐτῷ διακέωνται.

Ὁ δὲ τοῦ Διός ἀστὴρ κεῖται ὑπὸ τὴν τοῦ Κρόνου ζώνην μετὰ τὴν τοῦ Ἄρεως μέσος ὢν ἀμφοτέρων καὶ ἐν ἀέρι εὐκράτῳ κείμενος. ἀπὸ γὰρ τοῦ Κρόνου μεταλαμβάνων ψυχροτέρας διαδόσεως καὶ ἐκ τοῦ Ἄρεως πυρώδους καὶ θερμοτέρας εὔκρατος γίνεται τὴν φύσιν καὶ ἀγαθοποιὸς καὶ συμπαθὴς ἐπὶ πάντα καθέστηκε· διόπερ καὶ ζῳογονίας ἐστὶν αἴτιος· ἐν μὲν οὖν τοῖς συμπαθέσιν αὐτῷ ζῳδίοις τυχὼν ποιεῖ τὸν ἀέρα εὔκρατον καὶ τὰς τῶν ὑδάτων ἐκχύσεις ὁμοίως εὐκράτους καὶ τοῖς ζῴοις ὑγείαν παρέχεται, τὴν δὲ θάλασσαν εὔδιον καθίστησιν· ἐν δὲ τοῖς ἀσυμπαθέσι ζῳδίοις ποιεῖ τὸν ἀέρα ταραχώδη καὶ γνοφώδη καὶ λοιμικὰς τὰς διαθέσεις καὶ τὰς τῶν ὑδάτων ἐκχύσεις ἀκαίρους καὶ ἀνωφελεῖς μετὰ χαλαζῶν καὶ ἀνέμων καὶ τὴν θάλασσαν ταραχώδη καθίστησιν.

Ὁ δὲ τοῦ Ἄρεως ἀστὴρ κεῖται ὑπὸ τὴν τοῦ Διός ζώνην μετὰ τὴν τοῦ Ἡλίου ἐν ἀέρι διαπύρῳ καὶ πνιγώδει. ἀπὸ γὰρ τοῦ Διὸς πυρώδους ἀναδοσέως μεταλαμβάνων καὶ τὴν ἀπὸ τοῦ ἡλίου πυρώδη ἀνάδοσιν μεταλαμβάνων διάπυρος καθέστηκε τὴν φύσιν δι' αὐτὸ τοῦτο, τουτέστι διὰ τὴν πρὸς τὸν ἥλιον ἐγγύτητα· ὅθεν πάντων τῶν ἐπὶ γῆς γινομένων ζῴων τε καὶ καρπῶν παντοδαπῶν φθαρτικὸς γίνεται δι' ὑπερέχουσαν πυρὸς δύναμιν. ἐν μὲν οὖν τοῖς συμπαθέσιν αὐτῷ ζῳδίοις τυχὼν ποιεῖ κεραυνῶν ἐπιφορὰς καὶ αὐχμοὺς καὶ τὸν ἀέρα διάπυρον καὶ λοιμικὸν καὶ βαρὺν καὶ νοσερόν, καὶ τὴν κατάστασιν πολεμικὴν καὶ ταραχώδη καὶ εἰς πάντα ὀλέθριός ἐστιν· ἐν δὲ τοῖς ἀσυμπαθέσι ζῳδίοις τὸν ἀέρα εὔκρατον καὶ εὐδιεινὸν ποιεῖ καὶ τὴν θάλασσαν ἀτάραχον καθίστησι καὶ τὰ ζῷα ἄνοσα καὶ ἀπολέμητα καὶ ἀτάραχα, τούς τε καρποὺς τελειοῖ.

Ὁ δὲ Ἥλιος κεῖται ὑπὸ τὴν τοῦ Ἄρεως ζώνην μετὰ τὴν Ἀφροδίτην, μέσος ὢν πάντων, τῇ μὲν φύσει διάπυρος, ἔχων δὲ ἐν ἑαυτῷ τὴν τῶν ὅλων οὐσίαν τῇ τῶν δ' στοιχείων φύσει ἀνακεκραμένος, βασιλεὺς καὶ

1 post εὐκράτοις add. A : καὶ συμπαθέσιν αὐτῷ ζῳδίοις. ἀνήνεμον A. τήν τε scripsi] τὴν δὲ A καὶ τὴν B. 2 ποιεῖ ἐπ' ὠφελεία τῶν ζώων· τοὺς δὲ κ. π. τρέφει κ. αὔξει B. 3 καὶ ante οἱ om. A. 4 αὐτῷ συμφ. μετανεύωσιν A. 5 τὴν post μετὰ om. A. 6 καὶ om. A. τὴν γὰρ ἀπὸ τοῦ A. 7 ψυχρὰν πρόσδοσιν καὶ τὴν ἀπὸ Ἄ. πυρώδη ἀνάδοσιν (ο ex ω) μεταλαμβάνων τῇ φύσει εὔ. κ. ἀγ. κ. σ. μετὰ π. A. 9 καὶ πνεύματος καὶ πάσης ζ. αἴ. ἀποδείκνυται A. 11 post εὐκράτους add. καὶ τὰς κράσεις τελεῖοι A. 12 δὲ om. A. εὐδιηνὸν B. 14 καταστάσης A. 18 πν. κείμενος· τὴν γὰρ ἀπὸ τοῦ δ. μετ. εὔκρατον πρόσδοσιν A. 19 καὶ τὴν... ἀνάδοσιν om. B. 12 τῇ φύσει διάπ. ἀστὴρ κ. διὰ τὴν μετὰ τὸν A. 21 τῆς γῆς γεννωμένων A. 23 αὐτὸν A. 26 εἰς] μετὰ A. ἐστιν om. A. συμπαθέσι A B, correxi. 27 εὔδιον om. ποιεῖ A. 28 ζῷα] ἐπὶ τῆς γῆς A. 30 Fort. τὴν τῆς Ἀφροδίτης. 31 τὴν μ. φύσιν δ. ἐστιν οὗτος, ἔχει δὲ B.

ἡγεμὼν τοῦ σύμπαντος κόσμου καθεστώς, πάντων καθηγούμενος καὶ πάντων ὢν γενεσιάρχης· καὶ πάντα μὲν τὰ ζῷα γεννᾷ, ταῦτα δὲ αὐτὸς πάλιν φθείρει, καὶ τοὺς καρποὺς πεπαίνει καὶ πάλιν ξηραίνει.

Ὁ δὲ τῆς Ἀφροδίτης ἀστὴρ κεῖται ὑπὸ τὴν τοῦ ἡλίου ζώνην μετὰ τὴν τοῦ Ἑρμοῦ ἐν εὐκράτῳ ἀέρι τῇ φύσει ὢν κάθυγρος καὶ εὔκρατος καὶ θηλύτροπος, σπορᾶς τε καὶ ἀνατροφῆς αἴτιος· ἔχων γὰρ τὴν ἀπὸ τοῦ Ἡλίου μετάδοσιν τῆς θερμότητος καί τινος ὑγρότητος ἐκ τοῦ Ἑρμοῦ μεταλαμβάνων εὔκρατος καθέστηκεν, ἀεὶ συνὼν τῷ ἡλίῳ καὶ ποτὲ μὲν προπορευόμενος αὐτοῦ, ποτὲ δὲ ἑπόμενος· ἐν μὲν οὖν τοῖς συμπαθέσιν αὐτῷ ζῳδίοις τυχὼν καὶ δορυφορῶν τὸν Ἥλιον καθίστησι τὸν ἀέρα καὶ τὴν θάλασσαν εὐδιεινὴν καὶ τὰ ἐπὶ γῆς πάντα αὔξει καὶ τρέφει καὶ τελειοῖ καὶ τοῖς ζῴοις τὰς ψυχὰς ῥωμαλέας ἐργάζεται ἀνδρείας τε καὶ γαληνὰς καὶ εὐρώστους ποιῶν, ἀνήνεμόν τε τὸν ἀέρα καὶ εὔδιον καθιστῶν καὶ τὰς ἐκχύσεις τῶν ὑδάτων εὐκαίρους καὶ ἀβλαβεῖς ποιούμενος· ἐν δὲ τοῖς ἀσυμπαθέσι ζῳδίοις τυχὼν τὸν ἀέρα καθίστησι νοσερὸν καὶ ὀλέθριον καὶ πνευματώδη· μάλιστα <δὲ> τοῦ Ἡλίου ἀφιστάμενος καὶ στηρίζων καὶ τὴν θάλασσαν ταραχώδη ποιεῖ καὶ τοὺς καρποὺς πάντας καταβλάπτει καὶ τὰ ζῷα νοσοποιεῖ.

Ὁ δὲ τοῦ Ἑρμοῦ ἀστὴρ κεῖται ὑπὸ τὴν τῆς Ἀφροδίτης ζώνην μετὰ τὴν τῆς Σελήνης, σύνεγγυς ὢν τῇ γῇ, ἐν παχυμερεστέρῳ καὶ πνευματώδει καὶ καθύγρῳ ἀέρι, τῇ φύσει πνευματώδης ὢν καὶ αὐτός· τὴν γὰρ ἀπὸ τῆς Ἀφροδίτης μεταλαμβάνων μετάδοσιν καὶ τὴν ἀπὸ Σελήνης ἀνάδοσιν πνευματώδης καθέστηκεν, συμπεριπολῶν ἀεὶ τῷ ἡλίῳ καὶ ποτὲ μὲν προπορευόμενος αὐτοῦ, ποτὲ δὲ ἑπόμενος ὡς βασιλεῖ ὑπηρέτης ἢ ὑπαγγελεὺς ἢ προχειροφόρος ἐπὶ τοῦ λαοῦ καὶ τῶν οἰκονομιῶν τεταγμένος· τυχὼν δὲ ἐν τοῖς ἀσυμπαθέσιν αὐτῷ ζῳδίοις καὶ δορυφορῶν τὸν ἥλιον ταράσσει τὸν ἀέρα, ποιῶν βροντὰς καὶ ἀστραπὰς καὶ γνόφους καὶ πνευμάτων αἰφνιδίων συστάσεις καὶ κονιορτοὺς καὶ λαίλαπας καὶ χειμῶνας καὶ κεραυνοὺς καὶ πρηστῆρας καὶ χαλάζας καὶ σεισμούς· ὑπὸ δὲ τὰς αὐγὰς τοῦ ἡλίου περιειλούμενος καὶ κρυπτόμενος ποικίλας καὶ ἀκαταστάτους ποιεῖ τὰς τοῦ ἀέρος καταστάσεις, τήν τε θάλασσαν ἐκταράσσων καὶ τοὺς τῆς γῆς καρποὺς φθείρων καὶ τά ζῷα νοσοποιῶν· ἐν δὲ τοῖς συμπαθέσι ζῳδίοις τυχὼν τὸν ἀέρα εὔκρατον καὶ τὴν θάλασσαν εὔδιον καθίστησι καὶ πάντα αὔξει τρέφει τελειοῖ καὶ τοῖς ζῴοις τὰς ψυχὰς ῥωμαλέας ἐναρμόζει.

2 ἁπάντων ὢν γεννητικός· κ. π. (om. μὲν) τ. ζ. γ. καὶ διατηρεῖ, ὁ δὲ αὐτὸς καὶ διαφθείρει A. 5 ἀέρι εὐκρ. κείμενος A. 7 μετ. τῆς θερμότητος καὶ τὴν ἀπὸ Ε. ἀνάδοσιν μ. κάθυγρος καὶ εὔ. A. 10 αὐτὸν A. 11 εὔδιον A. τῆς γῆς A. αὔξει τρέφει τελειοῖ A. 12 ἐναρμόζει A. 13 εὐρωστίας A. ἀνήνεμον 14 καθιστῶν om. B. 15 ποιούμενος] καθιστῶν B. τυχὼν om. A. 16 17 μάλιστα... στηρίζων om. B. ἀφισταμένου A, correxi. 32 τοὺς ἐπὶ γῆς B. 33 νοσώδη ποιῶν B. ἀσυμπ. ζ. δορυφορῶν τὸν ἥλιον τὸν ἀέρα A. εὔκρ. ποιεῖ B. 34 εὐδιηνὴν B. καὶ τρ. καὶ τελ. B. 35 ῥωμαλαίας A. ἐργάζεται B.

Ἡ δὲ Σελήνη τὴν περιγειοτέραν ἔχουσα ζώνην φέρεται ἐν ἀνεμώδει καὶ καθύγρῳ ἀέρι τὴν ἀπὸ πάντων ἀπόρροιαν λαμβάνουσα καὶ τῆς τῶν πνευμάτων καὶ τῆς γῆς ἀναδόσεως μεταλαμβάνουσα· διὸ καὶ τῇ φύσει κάθυγρός τε καὶ εὔκρατος καθέστηκεν· ἡγεῖται δὲ τοῦ σύμπαντος κόσμου βασιλίδος τόπον ἐπέχουσα, πολύτροπος οὖσα πρός τε τὰ ἐπίγεια καὶ γεννητὰ διὰ τὴν ὀξύτητα τῆς κινήσεως, ταχινὰς ποιουμένη τὰς πρὸς τὴν γῆν ἀπορροίας διὰ τὴν πρὸς αὐτὴν ἐγγύτητα· διόπερ μάλιστα προσεκτέον αὐτῇ πρὸς πᾶσαν γένεσιν μετά τε τὴν πανσέληνον καὶ μετὰ τὴν πρὸς ἥλιον γινομένην σύνοδόν τε καὶ αὔξησιν καὶ μείωσιν· ἀπὸ μέν γὰρ συνόδου μέχρι πανσελήνου δραστικωτέρα γίνεται πρὸς τὰ ἐπὶ γῆς γεννητὰ διὰ τὴν τοῦ φωτὸς αὔξησιν, ἀδρανεστέρα δὲ γίνεται ἀπὸ πανσελήνου ἐπὶ σύνοδον διὰ τὴν μείωσιν τοῦ φωτός· ἡ δὲ αὐτὴ καὶ τῶν ἐν τῷ ὠκεανῷ γινομένων πλημμυρήσεών τε καὶ ἐκπώτεων αἰτία καθέστηκεν. [W. K.]

1 τὴν B] τῆς A. 3 ἀνάδοσιν A. διὸ καὶ om. A. 5 τρόπον A. τρόπους B. 7 διὰ δὴ τὴν A. τῆς κιν. om A. ταχινάς τε A. τὰς ἀπ. ἐπὶ τὴν γῆν διὰ τὴν ἐγγ. A. 8 αὐτὴν A B. πανσέληνον] σύνοδον A B. σύνοδον καὶ τὴν πανσέληνον ἀπὸ μὲν C. 9 πρὸς ἥλιον] μετὰ ♂ A. μέντοι A. 10 συνόδου B] ἀνατολῆς A. πρὸς τὰ om. B, ἐπιγενητα om. γῆς A. 11 διὰ τὸ τὴν ἀρχὴν ἀπὸ ἡλίου ποιεῖσθαι καὶ τὴν A. 12 τῶν γινομένων τῷ ὠκ. πλ αἰ. ἀποδείκνυται A. 13 Fort. ἀμπώτεων.

F. 68. Περὶ συνόδων <καὶ> πανεσελήνων· [περὶ καταρχῶν].

Σύνοδοι καὶ πανσέληνοι ὑπὸ κακοποιῶν μὴ θεωρείσθωσαν· πανσέληνος εἰς ἐκλειπτικὸν τόπον μὴ πέσοι· σύνοδοι καὶ πανσέληνοι ὑπὸ κακοποιῶν μὴ διαμετρείσθωσαν μηδὲ τετραγονιζέσθωσαν, κακίζουσι γὰρ καὶ ταπεινοῦσι τὰς καταρχάς, καθόλου δὲ χαλεπὴ ἡ περίστασις· συνόδων καὶ πανσελήνων οἱ κύριοι μὴ κακοδαιμονησάτωσαν, τῆς γῆς γὰρ καὶ τῆς πατρίδος ἐκφέρουσιν· ἔτι δὲ καὶ πενιχροὺς ποιοῦσιν· ἐπιθεωρούντων δὲ κακοποιῶν καὶ βιαίως ἀναιροῦσιν, καλῶς δὲ κείμενοι προεδρίας καὶ δόξας προξενοῦσιν· συνόδων καὶ πανσελήνων οἱ κύριοι κακοῖς τόποις πεσόντες ποιοῦσι πίστιν δανειζομένοις καὶ δανείσαντας τὰ ἑαυτῶν ἀπολέσαι, μάλιστα δὲ ἐν στερεοῖς ἐν τῇ πατρίδι, ἐν δισώμοις ἀπὸ συγγενῶν, ἐν τροπικοῖς ἀπὸ ξένων· τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης οἱ κύριοι μὴ διαμετρείτωσαν ἑαυτούς· ποιοῦσι γὰρ ἔξω τῆς πατρίδος τελευτᾶν, θεωρούντων δὲ τῶν κακοποιῶν καὶ βιαιοθανάτους εἶναι.

Schol. ad v. 6: Ὅτι οἱ κύριοι τῶν συνόδων<καὶ> πανσελήνων κακοδαιμονοῦντες μετανάστασιν ποιοῦσιν ἢ πενιχροὺς ποιοῦσιν· δρώντων δὲ καὶ κακοποιῶν καὶ βιαίως ἀναιροῦσιν.

V. 1. Idem excerptum in cod. 7, f. 152ᵛ. invenitur ubi inscribitur forsitan rectius : Περὶ καταρχῶν ἐν συνόδοις καὶ πανσελήνοις. καὶ suppl. περὶ καταρχῶν secl. 16 καὶ suppl.

Schol. ad v. 9: Ὅτι τοῦ ὡροσκόπου καὶ τῆς σελήνης οἱ κύριοι διαμετροῦντες ἀλλήλους ποιοῦσιν ἐπὶ ξένης τελευτᾶν· εἰ δὲ καὶ κακοποιοὶ εἴδωσι καὶ βιαιοθανατοῦσιν. [F. C.]

F. 83. Ἰουλιανοῦ περὶ καταρχῶν.

Ὁ δὲ θεῖος Πετώσιρις λέγων περὶ καταρχῶν φησιν οὕτως· σκέπτου τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τοὺς οἰκοδεσπότας ἀμφοτέρων καὶ τὸν ὡροσκόπον καὶ τὸ μεσουράνημα καὶ ἐπὶ τίνος τόπου τῶν προειρημένων ἕστηκεν ἡ Σελήνη καὶ ὁ οἰκοδεσπότης αὐτῆς. ἐὰν μὲν γὰρ ὁ οἰκοδεσπότης τῆς Σελήνης ἐν ἀποκλίμασιν εἴη, αὐτὴ δὲ ἡ Σελήνη ἐπίκεντρος, ἐν πρώτοις μὲν λαμπρόν, τέλος δὲ οὐχ ὅμοιον ἕξει· αἱ μὲν γὰρ ἀρχαὶ παντὸς πράγματος ἀπὸ Σελήνης λαμβάνονται, τὰ δὲ τέλη ἀπὸ τοῦ οἰκοδεσπότου αὐτῆς. ἐὰν δὲ ἡ Σελήνη ἀποκλίνῃ, ὁ δὲ οἰκοδεσπότης αὐτῆς ἐπίκεντρος εἴη, τὰς μὲν ἀρχὰς δυσκόλως ἕξει τὸ πρᾶγμα καὶ βραδεῖς, τὰ δὲ τέλη καλὰ καὶ βέβαια. ἡ Σελήνη καὶ ὁ οἰκοδεσπότης αὐτῆς ἐπίκεντροι ὄντες ἀπ' ἀρχῆς μέχρι τέλους καλὸν τὸ πρᾶγμα δηλοῦσιν· ἐὰν δὲ ἐν τοῖς ἀποκλίμασι τύχωσιν, ἐναντίον. ὁ οἰκοδεσπότης τῆς Σελήνης ἐν ταῖς ἐπαναφοραῖς τυχὼν χρόνιον μὲν ἔσεσθαι λέγει τὸ πρᾶγμα, τελεσθήσεσθαι δέ. σκέπτου δὲ καὶ τὰς ἀπορροίας τῆς Σελήνης καὶ τὰς συναφάς· ἀγαθοποιοῦ μὲν γὰρ ἀπορρέουσα οὔκ ἐστι καλὴ πλὴν δούλῳ δραπετεῦσαι βουλομένῳ· συνάπτουσα δὲ ἀγαθοποιῷ, τὴν ἔκβασιν τοῦ πράγματος καλὴν δηλοῖ, κακοποιῷ δὲ φαύλην. καὶ δεῖ τὸ μέλλον σκοπεῖν ἀπὸ τῶν συναφῶν, τὸ δὲ παρὸν ἢ τὸ γεγονὸς ἀπὸ τῶν ἀπορροιῶν. σκέπτου δὲ καὶ τὸν κλῆρον τῆς τύχης· ἐὰν μὲν ὑπὸ ἀγαθοποιῶν μαρτυρῆται, ἀγαθὸν τὸ τέλος δηλοῖ, ἐὰν δὲ ὑπὸ κακοποιῶν, κακόν.

Περὶ ἀπωλείας καὶ δραπετῶν καὶ χρέους.

Ἐπὶ πάσης καταρχῆς ἐὰν ὁ οἰκοδεσπότης τῆς Σελήνης μαρτυρῇ αὐτήν, καὶ τὸ ἀπολωλὸς εὑρεθήσεται, καὶ ὁ δραπέτης ἐπανελεύσεται, καὶ ὁ διδοὺς ἀπολήψεται· εἴτε βραδέως ἢ ταχέως, τοῦτο ἀπὸ τῶν κέντρων καὶ τῶν συναναφορῶν γνώσει. ἐὰν πρὸ τοῦ τὴν Σελήνην ἐπὶ τὸν

Codicem 28, 34 (A) descripserunt Al. Olivieri et Richardus Wuensch. Idem R. Wuensch varias lectiones enotavit cod 28, 13 f. 158^r (B) cum quo fere conspirat Marcianus 335 f. 89^v a Guillelmo Kroll collatus. 1 ἄλλως Ἰουλιανοῦ B 2 Πετώσιρις cf. Riess Philologus Supplem. VI, p. 388. περὶ κατ. λέγ. B. 3 ἔτι τε τὸν B. 4 τόπου τούτων ἕστ B. προ εἰρημενων A. 6 εἴη] ᾖ B. 7 τὸ δὲ τέλος B. ἕξει] ἕξει A : ἔσεσθαι σημαίνει B. 10 εἴη] ᾖ B. δυσκόλους coni. Kroll. 12 ἀπαρχῆς A. 14 λέγει] σημαίνει B. 17 ἀγαθῷ B. 18 δηλοῖ κακὴν ἔσεσθαι B 19 γεγωνός (γεγωνὼς en. Oliv.) A. 20 μὲν γὰρ B. μαρτυρεῖται A. 21 desinit cod. B. 22 Titulum ex notula mg. τοῦ <?> τοῦτο (τοῦτο τὸ enot. Kroll) κεφάλαιον περὶ ἀπ. Itaque utrum Iuliani sit an non vix liquet. 24 ἀπολωλὸς (ω corr. m. prima) A.

οἰκοδεσπότην <ἐλθεῖν> αὐτῆς, ὁ οἰκοδεσπότης ἀπὸ τοῦ ζῳδίου οὗ ἐφέστηκεν ἀποβῇ, εἰ μὲν τετράγωνος αὐτῇ κατ' ἀρχὰς ὤν, τρίγωνος αὐτῇ μεταβὰς γένοιτο, ὀλίγην βραδύτητα τὸ γενόμενον ἕξει· ἐὰν δὲ ἀπὸ τριγώνου εἰς τὸ ἀσύνδετον ζῴδιον ἔλθῃ, οὐ τελεσθήσεται τὸ πρᾶγμα, ἀλλὰ ὅταν ἐπὶ τὸ αὐτὸ ζῴδιον ἔλθῃ ὁ οἰκοδεσπότης τῆς Σελήνης, ἐφ' ᾧ ἕστηκεν ἐν τῇ καταρχῇ. ἡ Σελήνη ὑπὸ τῶν κακοποιῶν συνεχομένη ἐν ἑνὶ ζῳδίῳ σὺν αὐτῇ τυγχανόντων, ἀγαθοποιῶν αὐτὴν ἐκ τετραγώνου θεωρούντων, λύσιν παρέχει· εἰς τῶν ἀγαθοποιῶν ἐλθοῦσα τὸ τετράγωνον ἡ Σελήνη, καλὸν τὸ τέλος τοῦ πράγματος δίδωσιν· εἰς τὸ τῶν ἀγαθοποιῶν καὶ κακοποιῶν τετράγωνον, φησί, ἐὰν ἔλθῃ ἡ Σελήνη, καὶ βλάβη καὶ ὠφέλεια ἀμφήριστος ἔσται τῷ πράγματι καὶ δέος μὴ οἱ μὲν κακοποιοὶ βλάψωσιν, οἱ δὲ ἀγαθοποιοὶ μὴ τέλεον ὠφελῆσαι δυνήσωνται· ἐὰν ἀπὸ κακοποιοῦ εἰς κακοποιὸν ἔρχηται ἡ Σελήνη κατὰ σῶμα ἢ κατὰ μαρτυρίαν, ἀπὸ κακῶν εἰς κακὰ προχωρήσει τὰ πράγματα. ἀεὶ δὲ ἐπισκέπτου ἐν πάσῃ καταρχῇ καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην· ἀλλὰ νυκτερινῆς μὲν οὔσης τῆς καταρχῆς σκέπτου τὴν Σελήνην ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ, ἐὰν δὲ ἡμερινῆς ἐν τῷ ὑπὸ γῆν ἢ χρῶ τῷ ὡροσκόπῳ.

[W. K. et A. O.]

1 τὴν αὐτῆς cod. (om. ἐλθεῖν). 2 καταρχὰς ὧν cod. 6 ἐν omis. Wuensch. 7 αὐτὴν] αὐτη cod., corr. Kroll. 10-11 ὠφέλια ἀμφιριστος. 15 καταρχὴ cod. 17 ἐὰν] ἐν habet Wuensch. ἢ] ἦι habet Wuensch.

F. 83ᵛ. Σχόλια Λέοντος φιλοσόφου [1] εἰς τὴν ὡριμαίαν.

Τούτῳ τῷ παραδείγματι καὶ ταύτῃ τῇ ἁμαρτίᾳ καὶ ὁ Πορφύριος ἑάλω ἀνεπιστημονῶν μὲν καὶ τῆς τοῦ μεγάλου Πτολεμαίου διανοίας πόρρω· ὁ γὰρ ἐν τῇ τοῦ Τοξότου ἀφέτης οὐχὶ διὰ οε' ἡμερῶν ἔρχεται ἐπὶ τὸ δῦνον ἀλλὰ διὰ μ'· οὐ γὰρ καταφορὰς τοῦ Τοξότου καὶ Ζυγοῦ περιέχει ὁ κανὼν τοῦ ε' κλίματος ἀλλὰ δῆλον ὅτι ἀναφοράς· εἰ οὖν ἐν μὲν τῇ πρώτῃ ταύτῃ θέσει ὡροσκοπεῖ Κριοῦ ι' καὶ ταύτῃ παράκεινται χρόνοι ἀναφορικοὶ ε', μ', ἐν δὲ τῇ δευτέρᾳ θέσει δυνούσης Τοξότου η' ὀφείλει ὡροσκοπεῖν Διδύμων η' ἔχουσα χρόνους με', με'. ἡ ὑπεροχὴ χρόνοι οὐχὶ οε' ἀλλὰ μ' καὶ λεπτὰ ε'. [F. C.]

Codicem petenti mihi accurate descripsit J. Bidez. 1 Locum spectatum in Porphyrii *Introductione* non inveni. De ὡριμαία cf. Procli Paraphr. Ptolem. ed. Allatius p. 186. 3 πόρρωι cod. 5 κατὰ φορας cod. 9 ὡροσκοπῆν cod.

F. 83ᵛ. Περὶ τῆς τῶν ιβ' τόπων διακρίσεως· Οὐάλεντος.

Ἐπειδὴ συμβαίνει πολλάκις τὴν τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος διάστασιν μὴ διὰ τεσσάρων ζῳδίων γίνεσθαι ἀλλὰ καὶ διὰ ε' καὶ

L. 1-18 descripsit quoque Kroll. 2 τὸ ante μεσ. cod. 3 ζῳδια cod.

[1] De Leone philosopho qui saeculo IX exeunte vel X ineunte florebat, cf. Krumbacher, *Gesch. Byz. Lit.*, ed. 2, p. 722 s.

διὰ γʹ, ὡς ἐκ τούτου ἀπορεῖν ἡμᾶς ἐν ποίῳ τόπῳ ἕκαστος τῶν ἀστέρων, διακρίνειν δεῖ τοὺς τόπους τρόπῳ τοιῷδε· εἰσαγαγόντες τόν τε ὡροσκόπον καὶ <τὴν> μεσουρανοῦσαν τοῦ ζῳδιακοῦ μοῖραν, εἰς τὸν ἐπ' ὀρθῆς τῆς σφαίρας κανόνα (?), λαμβάνομεν τὰς παρακειμένας αὐτῷ ἀναφοράς, καὶ ἐπειδὴ εἴρηται τῷ Πτολεμαίῳ ἰσχύειν τὰ κέντρα ἀπὸ εʹ τῶν προανενεχθεισῶν μοιρῶν, ἀφελόντες ἀπὸ τῶν ἀναφορῶν μοίρας εʹ καὶ τὰς παρακειμένας ταῖς καταλειφθείσαις ἀναφοραῖς τῶν ζῳδίων λαβόντες μοίρας, ἕξομεν ἀρχὴν ὡροσκόπου καὶ μεσουρανήματος· ἔπειτα τῆς διαφορᾶς τῶν τοιούτων ἀναφορῶν τὸ γʹ λαβόντες καὶ ἀφελόντες ἐκ τῶν παρακειμένων τῇ ἀρχῇ τοῦ ὡροσκόπου ἀναφορῶν καὶ τὰς ὑπολειφθείσας εἰσαγαγόντες εἰς τὸν αὐτῆς τῆς ὀρθῆς σφαίρας κανόνα, καὶ τὴν παρακειμένην αὐταῖς τοῦ ζῳδίου μοῖραν λαβόντες, ἕξομεν ἀρχὴν δωδεκάτου τόπου. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν κέντρων ποιήσαντες, ἐκ τῆς προσθαφαιρέσεως τῶν ἀναφορῶν τῆς ὀρθῆς σφαίρας, ἕξομεν τὰς ἀρχὰς πάντων τῶν τόπων.

Ὁ Κρόνος ἐν τῷ συνδέσμῳ ὡροσκόπου σφαγὴν σημαίνει κατὰ τὸν τόπον ἔσεσθαι· εἰ δὲ πόρρω ἀπέχει τοῦ κέντρου, παρὰ τοὺς πλησίον τόπους ἐστὶ ἡ σφαγή, καὶ πόρρω τοῦ τόπου.

Οἱ φωστῆρες ἐπίκεντροι ὄντες εἰ βλέπονται ὑπὸ τῶν κακοποιῶν διάμετροι ἢ τετράγωνοι ὄντες αὐτοῖς χαλεπὰ ἔσεσθαι σημαίνουσι πράγματα. ἐπὶ παντὸς πράγματος παραφυλάσσεσθαι χρὴ τὴν Σελήνην οὖσαν ἐν τοῖς ἐκλειπτικοῖς συνόδοις μάλιστα τῷ συνδέσμῳ πλὴν τῶν καθαρσίων. ἐπὶ τῆς ἐφόδου τῶν Τούρκων εὑρέθη ὁ Κρόνος ἐπὶ τὸ δῦνον καὶ ἐσήμανεν ἡμετέραν τὴν βλάβην· οἱ γὰρ ἐπιόντες ἀπὸ τοῦ ὡροσκόπου λαμβάνονται, οἷς δὲ ἐπίασιν ἀπὸ τοῦ δύνοντος. ἐὰν ὡροσκοπῇ κακοποιὸς ἀστὴρ καὶ συσχηματίζηται αὐτῷ ἕτερος κακοποιός, μηδενὸς τῶν ἀγαθοποιῶν ὁρῶντος αὐτόν, ἤδη τέθνηκε περὶ οὗ ἡ ἐρώτησις.

Ἡ Σελήνη ἐν τῶ θʹ τόπῳ λαχοῦσα ταχὺ κατάλυτα ποιεῖ τὰ πράγματα, τὰ μὲν καλὰ οἷον τὰ ἀξιώματα οὕτως· τὰ δὲ κακὰ ἔτι μᾶλλον ἐπαύξει αὐτῶν τὴν κάκωσιν ταχυτέραν ἐπὶ τὸ χεῖρον· καθὼς συνέβη καὶ ἐν τῇ ἐξορίᾳ Φωτίου τοῦ πατριάρχου. [A. O.]

3 τὴν add. ἐπορθ <*sic*> cod. : ἐπ' ὀρθῆς scripsi, et l. 14 κανόνα dub. scripsimus κα vel signum nobis ignotum cod. 5-6 προανενενεχθησῶν cod. 9 ἕξωμεν cod. 16 incipiunt scholia. 26 συσχηματίζεται cod. 27 ἡ δὴ cod. 29 Tertium scholion de exilio Photii patriarchae ed. Boll in *Byz. Zeitschr.*, 1898.

F. 84ʳ-93ᵛ. **Rhetorii quaestiones astrologicae ex Antiochi thesauris excerptae.**

De Antiocho et Rhetorio astrologis quidquid compertum habemus in catalogo codicum astrologicorum Monacensium, ubi capita huius opusculi in codicibus praeter Laurentianum XXVIII, 34 servata editurum me esse promitto, accuratius

enarrabo. Hic pauca de codicibus a me aut inspectis aut collatis praemisisse sufficiat. Quorum longe vetustissimus atque praestantissimus est

L = Laur. XXVIII, 34 (fol. 84r-93v). Inscribitur : ἐκ τῶν Ἀντιόχου θησαυρῶν ἐπίλυσις καὶ διήγησις πάσης ἀστρονομικῆς τέχνης. Praeter prooemium continet capita 48 singulis numeris praescriptis et praeterea capitula quinque, quae num ex Rhetorii thesauro sumpta sint, forsitan dubitaveris. Tamen capitis 51 altera pars et capitulum 53 in codice Monac. 287 sub Rhetorii nomine feruntur, et in codd. Marc. 336 et 324 capitula 52 et 53 eiusdem tractatus esse partes ipso capitulorum ordine probatur.

Praeter L hos vidi codices:

I. — a, p, q, f, m.

a = Laur. XXVIII, 7 (saec. XV), fol. 170r-174v. Fol. 174v : Τέλος τῶν τοῦ ῥητορίου.

p = Monac. 170 (saec. XVI, ex bibliotheca P. Victorii), p. 75-84. Pag. 84 : Τέλος τῶν τοῦ ῥητορίου καὶ θεῷ δόξα.

q = Monac. 105 (saec. XV), fol. 34r-40v. Fol. 40v : Τέλος τῶν τοῦ ῥητορίου.

f = Vatic. 1444 (saec. XV), fol. 207r-212v. Fol. 212v : Τέλος τῶν τοῦ Ῥητορίου.

Hi quattuor codices inter se simillimi sunt. In omnibus liber inscriptus est : Ῥητορίου ἔκθεσις καὶ ἐπίλυσις περί τε τῶν προειρημένων [1] δώδεκα ζωδίων καὶ περὶ ἑτέρων διαφόρων ἐκ τῶν Ἀντιόχου θησαυρῶν ; item antecedit Rhetorium Pauli Alexandrini introductio apotelesmatica. Praeterea eadem continentur capita : prooemium (vel potius capitulum, quod sine numero ante primum exstat in cod. L) et capita 1, 3, 4, 7-10, 16, 17, 21, 23-44, 46, 47. Contuli codicem q haud raro interpolatum (vide exempli gratia cap. 7 et 8) aut mancum, a et p non numquam inspexi.

Ex quodam codice eiusdem generis atque a, p, q, f sua excerpsit

m = Marcianus 335 (saec. XV) fol. 249v-251r (= cap. υμβ'-υνζ'). Exhibet capita 3, 4, 7 (mutilum), 8 (item mutilum), 17, 21, 23-44, 46, 47. Sic inscribitur tractatus Antiochi in hoc cod. : Ῥητορίου ἔκθεσις καὶ ἐπίλυσις περὶ τῶν ιβ' ζωδίων καὶ περὶ ἑτέρων διαφόρων ἐκ τῶν Ἀντιόχου θησαυρῶν [2]. Fol. 251r : Τέλος τῶν τοῦ ῥητορίου.

II. — n, o.

n = Marc. 336 (saec. XV) fol. 228r sqq. Continet capita 1-3, 7-10, 12, 15-21, 23-44, 46-47, 52, 48-53.

Plane eadem exstant in codice

o = Marc. 324 (saec. XV) fol. 127v-132r.

---

[1] Cf. quae praecedunt in cod. Berol. infra descripto.

[2] Praeter haec capita idem codex exhibet fol. 112 : περὶ σπορᾶς ἐκ τῶν ῥητορίου. Inc. : τοῦ ζωδιακοῦ εἰς τξ' μοίρας διῃρημένου. Des. : δεῖ ζητεῖν τῆς συλλήψεως. Edam ex codice Paris. 2506 qui idem caput praebet fol. 23r. De re vide Antiochum apud Porphyrium, p. 194, 8 sqq.; Heph. Theb., II, 1 (p. 24 Engelbr.).

III. — r, s.

Codicum quos supra enumeravi, nullus exhibet capita nisi quae in cod. L repe-riuntur. At duos inspexi codices pleniores, quos accuratius propediem describam. Nunc haec satis erunt.

r = Monac. 287 (saec. XIV) fol. 107 : Ἐκ τῶν Ἀντιόχου θησαυρῶν διήγησις καὶ ἐπίληψις *(sic)* πάσης ἀστρονομικῆς τέχνης. Vides titulum congruere cum L; atque etiam singulae lectiones hic illic concinnunt cum vetustissimo codice. Cod. r continet haec capita in L exstantia: prooemium, 1, 2, 4+5+6, 7-12, 15, 16, 19+22, 23, 29, 48, 47, particulam capitis 51, capitulum 53, quae praeter cap. 47, 48, 53 in cod. r mutilata omnia diligenter contuli. Atque quamquam in r multa sunt inter-polata, multa omissa, tamen non sine fructu eo usus sum, quippe qui veras lectiones interdum unus servaverit. Sed praeterea r exhibet capita aut 11 aut 14 opusculi Rhetoriani, quae in L non inveni. Haec cum aliis edam in catalogo codicum astrologicorum Monacensium.

s = Berol. 173 (Phillipp. gr. 1577, saec. XV) fol. 139ʳ-146ᵛ. Inscribitur: Ῥητορίου θησαυρὸς συνέχων τὸ πᾶν τῆς ἀστρονομίας. Incipit caput primum : Ὁ ζωδιακὸς κύκλος κινεῖται λοξῶς ἔχων τμήματα ιβʹ. Fol. 144ᵛ alterum caput sequi-tur : Περὶ τῆς τῶν πλανωμένων ἀστέρων φύσεως καὶ δυνάμεως καὶ ὧν κυριεύει μελῶν ἕκαστος· καὶ τί σημαίνει. Denique fol. 145ᵛ : ἐπίλυσις καὶ διήγησις πάντων τῶν προειρημένων. Inc. Τίνος ἕνεκεν τῶν δώδεκα ζωδίων, explicit fol. 146ᵛ, linea extrema : ὅ ἐστιν ὕδωρ. Vides hoc unum caput e tribus in cod. Berol. habitis etiam in codice L inveniri. Capita duo priora edam cum capitibus cod. r; caput tertium contuli ad textum codicis L.

Capitulorum huius opusculi Porphyrianorum recensionem cur instituere noluerim, paucis verbis dicam. Vix enim donec integrum habeas Porphyrium, enucleare possis, quae sint verba Porphyrii, quae Rhetorii. Itaque ubi codd. L et r ab editione Porphyrianae introductionis abhorreant, adnotare satis habeo. Res tamen mere orthographicas neque hic neque alibi afferre mihi placuit; neque manifestos recentiorum codicum errores cunctos transcripsi nisi gravioribus rationibus commotus. [F. B.]

<Ῥητορίου> ἐκ τῶν Ἀντιόχου θησαυρῶν ἐπίλυσις καὶ διήγησις πάσης ἀστρονομικῆς τέχνης.

<Προοίμιον>.

Τίνος ἕνεκα τῶν δώδεκα ζῳδιων κυκλοειδῶς τετυχηκότων ἀπὸ Κριοῦ τὴν ἀρχὴν ἐποιησάμεθα καὶ μὴ μᾶλλον ἀπὸ Καρκίνου, καθ' ὃ ὁ κοσμι-κὸς ὡροσκόπος τετύχηκεν, ἢ ἀπὸ Λέοντος ὡς ἀπὸ ἡλιακοῦ ζῳδίου, ἀλλὰ

1 Quem ad modum titulus opusculi legatur in singulis codicibus, videsis supra. 4 ἕνεκεν r. ὑπὸ κριοῦ r : ἐν κριοῦ L. 5 ποιησώμεθα r. καθότι καὶ κοσμικὸς q. 6 ἡλιακοῦ ζωδίου q : ἡλίου L r.

μᾶλλον τῶν δύο φωστήρων προετιμήθη ὁ τοῦ Ἄρεως οἶκος ὁ Κριός; λέγομεν οὖν ὅτι ἐπειδὴ σωματικὰ ἐποίησαν οἱ παλαιοὶ τὰ δώδεκα ζῴδια κατὰ τὰ μέλη τοῦ ἀνθρώπου, τὴν ἀρχὴν ποιησάμενοι ἀπὸ Κριοῦ φάσκοντες αὐτὸν εἶναι κεφαλήν, τὸν δὲ Ταῦρον τράχηλον καὶ ἑξῆς ἀκολούθως μέχρι ποδῶν, τούτου χάριν ἀπὸ τοῦ ἡγεμονικωτέρου μέλους τοῦ σημαίνοντος τὸν ἐγκέφαλον καὶ πάντα ὅσα τῇ κεφαλῇ ἀνήκει, ἀπὸ Κριοῦ, τὴν ἀρχὴν ἐποιήσαντο. ἄλλως τε καὶ τὰς δ′ ἡλικίας πρὸς τὰς δ′ τροπὰς ἐποιήσαντο ἀπὸ τοῦ ἐαρινοῦ ζῳδίου τοῦτ' ἔστιν ἀπὸ Κριοῦ τὴν ἀρχὴν λαβόντες· τὸ γὰρ ἔαρ σημαίνει τὴν γαλουχίαν, τὸ δὲ θέρος τὴν νεότητα, τὸ δὲ μετόπωρον τὴν μέσην ἡλικίαν, ὁ δὲ χειμὼν τὸ γῆρας. δ′ οὖν εἰσι ζῴδια καὶ ταῦτα τροπικὰ λέγονται καὶ δ′ στερεὰ καὶ δ′ δίσωμα. καὶ τροπικὰ μὲν λέγονται καθ' ὃ τοῦ Ἡλίου γινομένου ἐν τούτοις τοῖς ζῳδίοις αἱ τροπαὶ τῶν ἀέρων μεταβάλλονται· οἷον γινόμενος ἐν Κριῷ τροπικῷ ζῳδίῳ τροπὴν ἄγει ἐαρινὴν καὶ ἰσημερινὴν καὶ ἀπὸ τότε ὁ μὲν ἀὴρ εὐδιότερος γίνεται, ἡ δὲ ἡμέρα μηκύνεται ἀπὸ τῶν ἴσων ὡρῶν· γινόμενος δὲ ἐν Ταύρῳ στερεῷ ζῳδίῳ καὶ ἐαρινῷ σταθερώτερον καὶ ἀμετάτρεπτον ποιεῖ τὸν ἀέρα, τὴν δὲ ἡμέραν ἐπὶ πλέον αὔξει· γινόμενος δὲ ἐν Διδύμοις δισώμῳ ζῳδίῳ ἐπαμφοτερίζει τὸν ἀέρα καὶ ποιεῖ τὴν σύγκρασιν αὐτοῦ μεταξὺ τοῦ ἔαρος καὶ τοῦ θέρους, τὴν δὲ ἡμέραν ἐπὶ πλέον αὔξει. ἐν ταύτῃ οὖν τῇ τριζῳδίῳ ἀπαρτίζεται τὸ ἔαρ ὅ ἐστιν ἀήρ. πάλιν δὲ γινόμενος ὁ Ἥλιος ἐν Καρκίνῳ τροπικῷ ζῳδίῳ τροπὴν ἄγει θερινήν· καὶ ὁ ἀὴρ θερμότερος ἄρχεται γίνεσθαι καὶ ἀπὸ τότε ἀπὸ τοῦ μεγέθους τῆς ἡμέρας ἀφαιρεῖ καὶ προστίθησι <εἰς> τὸ μέγεθος τῆς νυκτός· πάλιν γινόμενος ἐν Λέοντι στερεῷ ζῳδίῳ καὶ θερινῷ σταθερώτερον καὶ ἀμετάτρεπτον ποιεῖ τὸν ἀέρα, ἀφαιρῶν ἀπὸ τοῦ μεγέθους τῆς ἡμέρας καὶ προστιθεὶς εἰς τὸ μέγεθος τῆς νυκτός· πάλιν γινόμενος ἐν Παρθένῳ δισώμῳ ζῳδίῳ ἐπαμφοτερίζει τὸν ἀέρα καὶ ποιεῖ τὴν σύγκρασιν αὐτοῦ μεταξὺ τοῦ θέρους καὶ τοῦ μετοπώρου, τὴν δὲ νύκτα ἐπὶ πλέον αὔξει καὶ τὴν ἡμέραν ἐλαττοῖ. ἐν ταύτῃ οὖν τῇ τριζῳδίῳ πλη-

1 τῶν δύο φωστήρων om. L. προεκρίθη καὶ προετιμήθη q. 2 λεγόμενος r. οὖν om. L r; ὅτι om. q. ἐποίησαν] ἐπεῖπαν r. 3 ζῴδια om. r. μέλη] τέλη r. τῶν ἀνθρώπων r. ποιησάμενοι ἀπὸ κριοῦ] ἀπὸ κριοῦ ποιησώμεθα r. 4 καὶ τὸν ταῦρον q. 6 ἀνῆκε codd. 7 ἄλλως — γῆρας om. r. — Cf. Porph., p. 182. πρὸς om. Ls. 8 τοῦ om. L. 9 λαβόντες] ἐποίησαντο L. 10 δὲ ante μετ. om. q. ὁ δὲ] καὶ ὁ q. 11 ζώδια λεγόμενα τροπικὰ r. καὶ δ′ στερεὰ om. L; τροπικὰ καὶ δ′ om. q. 12 καθότι q. γενομένου q. 13 οἷον] οἵ L. γενομένου q. 14 τροπὴ ἄγεται ἐαρινὴ καὶ ἰσημερινὴ q. μὲν om. q. 15 εὐκρατότερος γίνεται καὶ εὐδιηνότερος r : εὐδειότερος L : εὐδιεινότερος q : εὐδιηνότερος s. 16 γενομένου q (et sic semper). ἐν om. q. 17 ἐπιπλέον] πλέον r. 18 ἐπαμφοτερίζειν r (et sic saepe) : ἐπαμφοτερίζει ὁ ἀὴρ καὶ ἡ σύνκρασις αὐτοῦ q. 19 εἶρος L : ἀέρος r s. 20 τριζωδίᾳ q : τριζώδω r (et sic semper). ἐστὶν ἀήρ] εἰς τύπον εἴληπται τοῦ ἀέρος r. 21 γινόμενος om. r : γενόμενος q (et sic saepe). ὁ ἥλιος om. L s. 22 ἄρχεσθαι r. ἀπὸ — μέγεθος] τοῦ μεγέθους r : τῷ μεγέθει q. 24 πάλιν om. r. τῷ λέοντι r. 26 καὶ — πάλιν om. r. εἰς τὸ μέγ.] τῷ μεγέθει s. 27 δὲ ἐν r. 29 ἐπὶ πλέον om. r. τὴν ἡμέραν] τὸν ἥλιον r.

ροῦται τὸ θέρος ὅ ἐστι πῦρ. πάλιν γινόμενος ὁ ἥλιος ἐν Ζυγῷ τροπικῷ ζῳδίῳ τροπὴν ἄγει μετοπωρινὴν καὶ ἰσημερινὴν καὶ ἀπὸ τότε τρέπεται ὁ ἀὴρ ἐπὶ τὸ ψυχινώτερον· ἡ δὲ νὺξ μηκύνεται ἀπὸ τῶν ἴσων ὡρῶν· πάλιν γινόμενος ἐν Σκορπίῳ στερεῷ ζῳδίῳ σταθερώτερον καὶ ἀμετάτρεπτον ποιεῖ τὸν ἀέρα τοῦ μετοπώρου, ἀφαιρῶν τὸ μέγεθος τῆς ἡμέρας καὶ προστιθεὶς εἰς τὸ μέγεθος τῆς νυκτός· πάλιν γινόμενος ἐν Τοξότῃ δισώμῳ ζῳδίῳ ἐπαμφοτερίζει τὸν ἀέρα καὶ ποιεῖ τὴν σύγκρασιν αὐτοῦ μεταξὺ τοῦ μετοπώρου καὶ τοῦ χειμῶνος· ἐπὶ πλέον δὲ ἀφαιρεῖ ἀπὸ τοῦ μεγέθους τῆς ἡμέρας καὶ προστίθησι εἰς τὸ μέγεθος τῆς νυκτός. ἐν ταύτῃ [fol. 85^r] οὖν τῇ τριζῳδίῳ πληροῦται τὸ μετόπωρον ὅ ἐστι γῆ. πάλιν γινόμενος ὁ ἥλιος ἐν Αἰγοκέρωτι τροπικῷ ζῳδίῳ ποιεῖ τροπὴν χειμερινήν· καὶ ἀπὸ τότε τρέπεται ὁ ἀὴρ ἐπὶ τὸ χειμονικότερον καὶ ἄρχεται ἡ ἡμέρα αὔξειν, ἡ δὲ νὺξ λήγειν· πάλιν γινόμενος ἐν Ὑδροχόῳ στερεῷ καὶ χειμερινῷ ζῳδίῳ σταθερώτερον καὶ ἀμετάτρεπτον ποιεῖ τὸν ἀέρα τοῦ χειμῶνος, ἀφαιρῶν ἀπὸ τοῦ μεγέθους τῆς νυκτὸς καὶ προστιθεὶς εἰς τὸ μέγεθος τῆς ἡμέρας· πάλιν γινόμενος ἐν Ἰχθύσι δισώμῳ ζῳδίῳ ἐπαμφοτερίζει τὸν ἀέρα καὶ ποιεῖ τὴν σύγκρασιν αὐτοῦ μεταξὺ τοῦ χειμῶνος καὶ τοῦ ἔαρος, ἀφαιρῶν τοῦ μεγέθους τῆς νυκτὸς καὶ προστιθεὶς τῷ μεγέθει τῆς ἡμέρας, ἐπὶ τὰς ἰσημερινὰς ὥρας. ἐν ταύτῃ τῇ τριζῳδίῳ ἀπαρτίζεται ὁ χειμερινὸς ἀὴρ ὅ ἐστιν ὕδωρ.

1. Περὶ ἀρρενικῶν καὶ θηλυκῶν ζῳδίων καὶ ἀρρενουμένων καὶ τεθηλυμμένων τόπων καὶ ἀστέρων.

Ἀρρενικὰ μὲν ζῴδιά ἐστιν ἕξ· Κριός, Δίδυμοι, Λέων, Ζυγός, Τοξότης, Ὑδροχόος· θηλυκὰ δὲ ἕξ· Ταῦρος, Καρκίνος, Παρθένος, Σκορπίος, Αἰγόκερως, Ἰχθύες. ἀρρενικοὶ δὲ τόποι εἰσὶν ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὡροσκόπου· θηλυκοὶ δὲ ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ ὑπὸ γῆν· πάλιν ἀρρενικοὶ τόποι ἀπὸ τοῦ ὑπὸ γῆν ἕως τοῦ δυτικοῦ κέντρου· θηλυκοὶ δὲ ἀπὸ τοῦ δύνοντος ἕως τοῦ μεσουρανοῦντος. τούτων οὖν τῶν δʹ τεταρτημορίων δύο μὲν ἀρρενοῦνται καὶ δύο θηλύνονται. πάλιν δὲ ἀρρενικοὶ ἀστέρες εἰσὶν Ἥλιος, Κρόνος, Ζεύς, Ἄρης,

1 ὃ εἰς τύπον εἴληπται τοῦ πυρός r. ὁ ἥλιος om. Lq. 3 ψυχρότερον r. 4 πάλιν γίν.] γινόμενος δὲ r et sic infra saepius. 6 προστιθῶν L. τὸ om. r. 7 τῷ τοξότῃ r. σύγκρησιν r. 9 προστιθεῖ L : προστίθει r : πρὸς s. 10 οὖν om. q. 11 ὃ εἰς τύπον λαμβάνεται τῆς γῆς r. γενόμενος r. ποιεῖται Lq. 12 καὶ ἀπὸ τότε ἄρχεται L. χειμερινώτερον q. 13 αὔξεσθαι ἡ ἡμέρα q. νύκτα r. λήγειν] ἐλαττοῦσθαι q. 16 προστιθῶν L. 17 σύγκρισιν r. 18 ἀέρος rs. 19 προστιθῶν L. ἡμερινὰς r. 20 ὁ χειμὼν ὃ εἰς τύπον εἴληπται τοῦ ὕδατος r. 21 Cf. Ptol., I, 4; Porph., p. 194. κ. ἀ. κ. τεθ. om. r. 23 ἀρσενικὰ Lq. εἰσὶν qr. 24 ἓξ ζῴδια L. 25 ἀρρενικῶν q. 26 θηλ. δ. ἀ. τ. ὡ. om. r; θηλυκῶν q. ὑπογείου ἀντὶ μεσουρανήματος q. Alias id genus lectiones e cod. q non notavi. 27 πάλιν ἀπὸ τοῦ ὑπογείου τόπου ἕως τοῦ δυτικοῦ κέντρου ἀρρενικοὶ r. 29 καὶ δύο] δύο δὲ q. 30 δὲ] οὖν r.

Ἑρμῆς· θηλυκοὶ δὲ Σελήνη καὶ Ἀφροδίτη. οὗτοι δὲ οἱ ἀστέρες ποτὲ μὲν ἀρρενοῦνται, ποτὲ δὲ θηλύνονται· καὶ ἀρρενοῦνται μὲν οἱ ἀστέρες, ἐὰν ἑῷοι ἀνατολικοὶ τυγχάνωσι πρὸς τὸν Ἥλιον, τοῦτ' ἔστιν ἐν τοῖς ἡγουμένοις ζῳδίοις τοῦ Ἡλίου τετυχηκότες ἀπὸ μοίρας ιε' ἔγγιστα· θηλύνονται δὲ, ἐπὰν ἑσπέριοι τύχωσι πρὸς τὸν Ἥλιον τετυχηκότες ἀπὸ μοίρας ιε' ἔγγιστα. πάλιν ἀρρενοῦνται οἱ ἀστέρες <ἐν> ἀρρενικοῖς ζῳδίοις τετυχηκότες καὶ βόρειοι γινόμενοι· θηλύνονται δὲ ἐν θηλυκοῖς καὶ νοτείοις γινόμενοι. πάλιν ἀρρενοῦνται οἱ ἀστέρες ἐν ἀρρενικοῖς τεταρτημορίοις τετυχηκότες, ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὡροσκόπου καὶ ἀπὸ τοῦ ὑπογείου ἕως τοῦ δύνοντος· θηλύνονται δὲ ἐν τοῖς θηλυκοῖς τεταρτημορίοις, τοῦτ' ἔστιν ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ ὑπὸ γῆν ἢ ἀπὸ τοῦ δύνοντος ἕως τοῦ μεσουρανοῦντος. συμβάλλονται δὲ οἱ ἀρρενούμενοι ἀστέρες ἐν τοῖς ἠρρενωμένοις ζῳδίοις ἢ τοῖς ἠρρενωμένοις τεταρτημορίοις πρὸς τὰς ἀρρενικὰς γενέσεις· ποιοῦσι γὰρ αὐθάδεις, τολμηρούς, τὸ ἀνδρεῖον ἐν ἑαυτοῖς ἔχοντας· τὰς δὲ γυναῖκας ποιοῦσιν ἀσέμνους, ἀναισχύντους, τολμηράς, δυσυποτάκτους καὶ πρὸς τὰς συνουσίας ἠρρενωμένας ἤτοι τριβάδας. θηλυνόμενοι δὲ οἱ ἀστέρες ἔκ τε τῶν φάσεων καὶ τῶν ζῳδίων καὶ τῶν τεταρτημορίων ποιοῦσι τοὺς ἄνδρας μαλακούς, μαλακοψύχους, ἀτόλμους, πανταρβεῖς, θηλυνομένους καὶ τὸ ἐπίπαν ἀποκόπους ἢ γυναικεῖα ἔργα ἀποτελοῦντας· τὰς δὲ γυναῖκας κατηφεῖς, αἰσχυντηλάς, εὐγνώμονας, σεμνάς, ὑποτασσομένας τοῖς ἀνδράσι καὶ τοὺς γυναικείους νόμους δεδιδαγμένας. καὶ ταῦτα μὲν περὶ τῶν ἑῴων καὶ ἑσπερίων ἀνατολικῶν ἀστέρων εἰρήκαμεν· οἱ γὰρ δυτικοὶ καὶ ἀφαιρεταὶ τῶν ἀστέρων ἀδρανεῖς καὶ ἀσθενέστεροι καὶ ἀνώμαλοι περὶ τὰ πρακτικὰ τετυχήκασιν πλὴν τῶν ἐγκαρδίων ἀστέρων. ἐγκάρδιοι δὲ ἀστέρες λέγονται οἱ συνοδεύοντες ἰσομοίρως τῷ Ἡλίῳ ἢ περὶ μοίρας ἢ παρὰ μοίρας. ταύτης δὲ τῆς φάσεως οὐδεὶς τῶν ἀρχαίων ἐμνήσθη, ἡμεῖς δὲ τῇ πείρᾳ λαβόντες ὑπετάξαμεν, ἐπειδὴ καὶ Πτολεμαῖος συνοδικὴν εἶπε τὴν φάσιν μὴ εἰρηκὼς αὐτῆς τὴν ἐνέργειαν.

1 καὶ om. L. post ἀφροδίτη add. q : ἑρμῆς δὲ ἐπίκοινος. οὗτοι μὲν r. 2 καὶ om. r q. 2-3 οἱ ἀστέρες om. q. 3 ἐπὰν q : ὅταν r. ἑῷοι om. q. ἀνατολικοὶ om. r. τυγχάνονται r. τύχωσι q. 5 τὸν ἥλιον] αὐτὸν q. 6 πάλιν — νοτείοις γινόμενοι om. q. ἐν suppl. 7 θηλύνονται — γινόμενοι om. r. οἱ ἀστέρες om. q. 9 ἀπὸ — τοῦτ' ἔστιν om. q. τοῦ in fin. lin. om. L. 12 ἢ] καὶ q. 13 εἰρημένοις q. ἢ καὶ q. 15 τολμ. — ἔχοντας] ποιοῦσιν τολμηροὺς, ἀνδρείους r : ποιοῦσιν γὰρ αὐθάδεις om. L. αὐτοῖς q. 16 ποιοῦσιν om. r. πρός] περὶ r; om. L. 17 ἤτοι τριβάδας om. r. 19 μαλακοψύχους om. r. 20 καὶ — ἀποτελοῦντας om. r. παράπαν q. 22 τοῖς ἀνδράσιν — δεδιδ. om. r. 23 περὶ scripsi; ἀπὸ cod. ἑσπερίων ἀστέρων r. καὶ ἑσπερίων om. q. 24 ἀφαιρεταὶ] nempe ἀφαιρετικοὶ Kroll. ἀνδρανεῖς r. 26 ἄστρων r. 27 δὲ om. L. περὶ] ὑπὲρ q. 28 ἐμνήσθην L. 29 ἐπεὶ q.

2. Περὶ αἱρέσεως τῶν ἀστέρων.

Ἐπὶ τῶν ἡμερινῶν γενέσεων αἱρεσιαρχοῦσιν Ἥλιος, Κρόνος, Ζεύς, ἐπὶ δὲ τῶν νυκτερινῶν Σελήνη, Ἀφροδίτη, Ἄρης. ὁ γὰρ Ἑρμῆς ἐπίκοινος πρὸς τὰς αἱρέσεις καθέστηκεν. καὶ ἀγαθοποιοὶ μὲν νομίζονται Ἥλιος, Ζεύς, Σελήνη, Ἀφροδίτη, κακοποιοὶ δὲ Κρόνος καὶ Ἄρης· ὁ γὰρ Ἑρμῆς ἐπίκοινος μετὰ τῶν ἀγαθῶν ἀγαθός ἐστιν, καὶ μετὰ τῶν κακοποιῶν κακοποιὸς καθέστηκεν. περὶ δὲ τῶν ἀγαθοποιῶν καὶ κακοποιῶν εἶπον ὅτι νομίζονται ἐπεὶ πολλάκις ἐπί τινων γενέσεων οἱ κακοποιοὶ <κείμενοι> καλῶς φάσει καὶ αἱρέσει καὶ τόπῳ μεγαλύνουσι τὰς τύχας, οἱ δὲ ἀγαθοποιοὶ κακῶς κείμενοι βλάπτουσιν αὐτάς. φησὶ γὰρ Δωρόθεος περὶ τούτου τοῦ κεφαλαίου εἰπών· τρίπλευροι γὰρ κακοεργοὶ ἀμβλύνονται· ἀστὴρ δὲ οὐκέτι φαῦλος ἐπεὶ ἀγαθὸν τόπον εὕροι· οὐδὲ τόπος δὲ κακὸς χρηστὸν ὅτε ἀσπάζεται.

3. Περὶ τῆς τῶν ιβ′ ζῳδίων κράσεως.

Εἰρήκαμεν εἶναι τὸν Κριὸν πυρώδη, τὸν δὲ Ταῦρον γεώδη, τοὺς δὲ Διδύμους ἀερώδεις, τὸν δὲ Καρκίνον ὑδατώδη· πάλιν τὸν Λέοντα πυρώδη, τὴν δὲ Παρθένον γεώδη, τὸν δὲ Ζυγὸν ἀερώδη, τὸν δὲ Σκορπίον ὑδατώδη· καὶ πάλιν τὸν Τοξότην πυρώδη, τὸν δὲ Αἰγοκέρωτα γεώδη, τὸν δὲ Ὑδροχόον ἀερώδη, τοὺς δὲ Ἰχθύας ὑδατώδεις. ὡς εἶναι τὸ μὲν τρίγωνον Κριὸς Λέων Τοξότης πυρῶδες, τὸ δὲ τρίγωνον Ταῦρος Παρθένος Αἰγόκερως γεῶδες, τὸ δὲ τρίγωνον Δίδυμοι Ζυγὸς Ὑδροχόος ἀερῶδες, τὸ δὲ τρίγωνον Καρκίνος Σκορπίος Ἰχθύες ὑδατῶδες. οὐκ ἀσκόπως δὲ εἴρηται τοῦτο παρὰ τοῖς παλαιοῖς· ἐπειδὴ γὰρ τὰ ὑλικὰ πάντα ἐκ τούτων τῶν δ′ στοιχείων ἤτοι σωμάτων συνέστηκεν, ἀνάγκη καὶ τὸν ἄνθρωπον ὡς τῆς αὐτῆς φύσεως κεκοινωνηκότα μετέχειν τούτων τῶν δ′ στοιχείων. καὶ προσέταξαν τὰ τέσσαρα κέντρα τῆς γενέσεως κατὰ τὰς τέσσαρας κράσεις τούτων τῶν δ′ στοιχείων, οἷον· ἐὰν Κριὸς ὡροσκοπήσῃ τοῦτ᾽ ἔστιν πυρῶδες ζῴδιον καὶ Αἰγόκερως μεσουρανήσῃ τοῦτ᾽ ἔστιν γεῶδες ζῴδιον καὶ Ζυγὸν δύνῃ ἀερῶδες ζῴδιον καὶ

1 Cf. Ptol., I, 5. Paul., C. 4^{v}. — Hoc capitulum habetur etiam in cod. Neapol., II C. 33, fol. 521^{v} ubi inscribitur: περὶ αἱρέσεων τῶν ἄστρων Ἀντιόχου. 2 αἱρεσιάρχουσιν codd.; corr. Kroll. 5 καὶ om. L. 6 μετὰ — καθέστηκεν om. r. 7 περὶ — νομίζονται] ἀγαθοποιοὶ καὶ κακοποιοὶ νομίζονται· εἰπών, r. 8 ἐπὶ codd.; corr. Kroll. Idem add. κείμενοι. 11 εἶπεν L; om. r. 12 οὐκ ἔστιν r. δὲ om. r. 13 χρηστότε ἀσπάζεται L. χρηστὸν ἀσπάζεται r. Tales fere fuisse Dorothei versus conicias:

. . . . τρίπλευροι γὰρ κακοεργοὶ
. . . . ἀμβλύνονται·
ἀστὴρ δ᾽ οὐκέτι φαῦλος ἐπεὶ ἀγαθὸν τόπον εὕροι·
οὐδὲ τόπος δὲ κακὸς χρηστὸν ὁπότ᾽ ἀσπάζοιτο.

15 Εἰρήκαμεν: cf. cod. Berol. 1577 (s), fol. 139 sq. δὲ om. q, item infra saepe. 18 καὶ om. q. 21 διδύμοις L. 22 καὶ ἰχθύες q. 23 παρὰ] ἐπὶ L. 24 ἅπαντα q. 25 καὶ et ὡς om. q. 26 προσέταξα L: προέταξαν q. 29 καὶ — ἀρίστη om. L.

Καρκίνος ἐν τῷ ὑπὸ γῆν τύχῃ ὑδατῶδες ζῴδιον, ἔσται ἡ κρᾶσις ἀρίστη. πάλιν ἐὰν ζητῇς τὰς ἐπαναφορὰς καὶ τὰ ἀποκλίματα τῶν κέντρων, εὑρήσεις αὐτὰ κατὰ τὰ τέσσαρα στοιχεῖα ἀκολούθως κείμενα.

4. Περὶ ζῳδίων λεπρωδῶν καὶ ἀλφωδῶν καὶ ψωροποιῶν ἢ λειχήνων.

Ψώρας λέπρας λειχῆνας ἀλφοὺς ποιεῖ ἡ Σελήνη κακουμένη ἐν Κριῷ Καρκίνῳ Σκορπίῳ Αἰγοκέρωτι Ἰχθύσιν· οὐ μόνον δὲ ἡ Σελήνη ἀλλὰ καὶ ὁ κλῆρος τῆς τύχης ἢ τοῦ δαίμονος ἐν τοῖς ζῳδίοις τούτοις τετυχηκότες καὶ ὑπὸ κακοποιῶν μόνον θεωρούμενοι. ποιοῦσι δὲ καὶ ὑποκύρτους τοὺς οὕτω γεννηθέντας.

5. Περὶ ζῳδίων ἀσελγῶν.

Ἀσελγῆ καὶ παθοποιὰ ζῴδιά εἰσιν Κριὸς Ταῦρος Αἰγόκερως, Ἰχθύες, ἀπὸ μέρους δὲ καὶ Ζυγός· περὶ δὲ τούτων ἀκριβῶς ἐν τοῖς πρόσθεν εὑρήσεις.

6. Περὶ ζῳδίων σινοποιῶν εἰς τοὺς ὀφθαλμούς.

Σινοποιὰ δὲ ζῴδιά εἰσιν ἐπὶ τοὺς ὀφθαλμοὺς Ταῦρος διὰ τὴν πλειάδα, Καρκίνος διὰ τὸ νεφέλιον, Σκορπίος διὰ τὸ κέντρον, Τοξότης διὰ τὴν ἀκίδα, Αἰγόκερως διὰ τὴν ἄκανθαν, Ὑδροχόος διὰ τὴν κάλπην, ἀπὸ μέρους δὲ καὶ Λέων· καὶ περὶ τούτων δὲ ἀκριβέστερον εὑρήσεις ἐν τοῖς ἔμπροσθεν.

7. Περὶ ὑψωμάτων καὶ ταπεινωμάτων.

Εἰρηκότες οὖν ἀκολούθως πᾶσαν τὴν φυσικὴν σύγκρασιν τῶν ζῳδίων, ἐπὶ τὰς αἰτίας τῶν ὑψωμάτων καὶ ταπεινωμάτων καὶ ἐναντιωμάτων τῶν ἀστέρων <ἐλευσόμεθα>· τίνος ἕνεκεν ἔνθα ὑψοῦται ὁ Ἥλιος, ἐκεῖ ταπεινοῦται ὁ Κρόνος, καὶ ἔνθα ὑψοῦται ὁ Κρόνος, ἐκεῖ ταπεινοῦται ὁ Ἥλιος; λέγομεν γὰρ εἶναι τὸν Ἥλιον πυρὸς καὶ φωτὸς ταμεῖον καὶ τῆς ἡμέρας δεσπότην· τὸν δὲ Κρόνον πάλιν ψυχρὸν σημαίνοντα τὸ σκότος. ἔνθα οὖν ὑψοῦται τὸ τῆς ἡμέρας φῶς, ἐκεῖ ταπεινοῦται τὸ σκότος καὶ ἡ νὺξ καὶ θερμαίνεται τὸ ψυχρόν· ἔνθα δὲ τὸ σκότος ὑψοῦται, ἐκεῖ

2 εὑρίσκεις L. 4 λεπροδῶν ἀλφωδῶν καὶ τῶν τοιούτων q : περὶ ἐμπαθῶν ζωδίων r. 6 καὶ ἀλφοὺς q. ἡ om. L. κακωμένη L. ἐν om. Lr. 7 αἰγοκέρωτι om. r. 8 ἤτοι q. τούτοις om. r. 8-9 τετυχηκὼς et θεωρούμενος q. 9 τῶν κακοπ. q. 11 Inscriptionem om. r. — Cf. anon. in Ludwich. Maximo, p. 108, 25. 12 ἀσελγῆ δὲ ζώδια καὶ παθοποιὰ r. 13 περὶ — εὑρήσεις om. r. At vide capita Περὶ τῶν σινοτικῶν μοιρῶν τῶν ζῳδίων et Περὶ σινῶν, φαλακρῶν, ποδαλγῶν, μαινομένων, ἀσελγῶν καὶ τῶν λοιπῶν, quae exstant in r. 15 om. r. 16 ζῴδιά εἰσιν om. r. ἐπὶ] διὰ r. 17 τὰ κέντρα r. 19 δὲ om. Lr. 19-20 καὶ — ἔμπροσθεν om. r. 21 περὶ] ἐπὶ L. 22 πᾶσαν τὴν φυσικὴν σύγκρασιν] περὶ φυσικῶν συγκρίσεων q. 23 ἐπὶ τὰς q : ἐπί τε r : ἔτι τε L. 24 ἐλευσόμεθα om. Lr; ex coniectura addunt pq. 26 καὶ λέγομεν q. φωτὸς καὶ πυρὸς ταμίαν q. 28 ὑψοῦται] αὔξεται q. 29 καὶ θερμαίν.] καὶ om. r.

ταπεινοῦται τὸ φῶς καὶ <ἡ> ἡμέρα μικροτέρα γίνεται. πάλιν τίνος ἕνεκα ἔνθα ὑψοῦται ὁ Ζεύς, ἐκεῖ ταπεινοῦται ὁ Ἄρης, καὶ ἔνθα ὑψοῦται <ὁ> Ἄρης, ἐκεῖ ταπεινοῦται ὁ Ζεύς; λέγομεν εἶναι τὸν Δία ἔφορον τοῦ ζωτικοῦ πνεύματος καὶ δαψιλείας, τὸν δὲ Ἄρεα θανάτου. ἔνθα οὖν αὔξει τὸ ζωτικὸν πνεῦμα, ἐκεῖ ταπεινοῦται ἡ τοῦ θανάτου ποιότης· ἔνθα δὲ αὔξει ὁ θάνατος, ἐκεῖ ταπεινοῦται ἡ ζωή. πάλιν τίνος ἕνεκα ἔνθα ὑψοῦται ἡ Ἀφροδίτη, ἐκεῖ ταπεινοῦται ὁ Ἑρμῆς, καὶ ἔνθα ὑψοῦται ὁ Ἑρμῆς, ἐκεῖ ταπεινοῦται ἡ Ἀφροδίτη; λέγομεν εἶναι τὸν Ἑρμῆν λόγων δεσπότην, τὴν δὲ Ἀφροδίτην ἐπιθυμίας καὶ μίξεως ἔφορον. ἔνθα οὖν αὔξει τὸ λογικόν, ἐκεῖ ταπεινοῦται τὸ ἐπιθυμητικὸν καὶ ἡδονικὸν τῆς μίξεως· ἔνθα δὲ ὑψοῦται τὸ ὀρεκτικὸν καὶ ἡδονικόν, ἐκεῖ ταπεινοῦται τὸ λογικόν. τίνος οὖν ἕνεκεν ἔνθα ὑψοῦται ἡ Σελήνη, ἐκεῖ οὐδεὶς ταπεινοῦται, καὶ ἔνθα ταπεινοῦται ἡ Σελήνη, ἐκεῖ οὐδεὶς ὑψοῦται; λέγομεν εἶναι τὴν Σελήνην τύχην τοῦ παντός· καὶ ὃν ὑψοῖ ἡ τύχη, οὐδεὶς ταπεινοῖ, καὶ ὃν ταπεινοῖ ἡ τύχη, οὐδεὶς ὑψῶσαι δύναται.

8. Περὶ ἐναντιωμάτων τῶν ἀστέρων.

Τίνος ἕνεκεν οἱ οἶκοι Ἡλίου καὶ Σελήνης ἐναντιοῦνται τοῖς οἴκοις τοῦ Κρόνου; λέγομεν εἶναι τὸν μὲν Ἥλιον καὶ τὴν Σελήνην φωστῆρας κόσμου, τὸν δὲ Κρόνον σκότους <δεσπότην>· ὅθεν ἀεὶ τὸ φῶς ἐναντιοῦται τῷ σκότει, καὶ τὸ σκότος τῷ φωτί. πάλιν τίνος χάριν ἐναντιοῦνται οἱ οἶκοι τοῦ Ἑρμοῦ τοῖς οἴκοις τοῦ Διὸς καὶ οἱ οἶκοι τοῦ Διὸς τοῖς οἴκοις τοῦ Ἑρμοῦ; λέγομεν εἶναι τὸν Δία ἔφορον χρήματος καὶ δαψιλείας, τὸν δὲ Ἑρμῆν λόγων ἀεὶ δεσπότην· ἀεὶ οὖν τὸ λογικὸν ἐναντιοῦται καὶ καταφρονεῖ <τῆς> τῶν χρημάτων ἐπιθυμίας καὶ ἡ δαψίλεια ἐναντιοῦται τῷ λογικῷ. τίνος οὖν ἕνεκα πάλιν οἱ οἶκοι τοῦ Ἄρεως ἐναντιοῦνται τοῖς οἴκοις τῆς Ἀφροδίτης; λέγομεν εἶναι τὴν Ἀφροδίτην ἔφορον πάσης ἐπιθυμίας καὶ τέρψεως καὶ ἡδονῆς, τὸν δὲ Ἄρεα παντὸς φόβου καὶ πολέμου καὶ θυμοῦ· ἐναντιοῦται οὖν ἀεὶ τὸ τερπνὸν καὶ ὀρεκτικὸν καὶ ἡδονικὸν τῷ φοβερῷ καὶ θυμικῷ καὶ πολεμικῷ. ὅτι δὲ τοῦτο οὕτως ἔχει, καὶ δεῖ κατὰ τὸ ἀληθὲς οὕτως κρίνειν ἐν πᾶσι τοῖς κεφαλαίοις τὰς τῶν ἀστέρων φύσεις πρὸς τὰς ἀλλήλων σχηματουργίας.

1 ἡ suppl. μείωσιν δέχεται q. 2 ὁ om. L (saepius). 3 λέγομεν οὖν q. εὔφορον r (sic saepe). 8 ἡ ἀφροδ. — ὑψοῦται om. L; ordinem transposuit q. λόγον L: λόγου r. 10 τῆς μίξεως — ἡδονικόν om. r. 11 δὲ πάλιν q. ἡδονικόν] ἡ ἡδονὴ τῆς μίξεως q. 12 τίνος οὖν] πάλιν τίνος rq. 13 ἐκεῖ om. q. 16 τῶν ἐναντιωμάτων q: τῶν ante ἀστέρων om. L. 18 μὲν om. qr. 19 τοῦ κόσμου q. δεσπότην suppl. 20 τῷ σκότει] τὸ σκότος Lr. τὸ σκότος ἀεὶ τῷ φωτὶ r. χάριν] ἕνεκεν q. 22 χρημάτων q. 23 λόγων ἀεὶ δεσπότην] δεσπότην τῶν λόγων q. 24 τῆς suppl. ἐπιθυμίας] καὶ τῆς ἐπιθυμίας αὐτῶν q. 25 τὸ λογικὸν L. πάλιν τίνος ἕνεκεν q: πάλιν τίνος χάριν r. 26 post ἀφροδ. add. r: καὶ τὸ ἀνάπαλιν. 27 ἔφορον om. q. ἡδονῆς αἰτίαν q. 28 φόνου et θυμοῦ αἴτιον q. ἐναντιοῦνται codd. οὖν] δὲ r. 28-29 τὸ τερπνόν τε καὶ ἡγεμονικὸν καὶ ὀρεκτικὸν r. 30 δεῖ] δὴ L. κατὰ ἀλήθειαν r. τοῖς bis scripsit L. 31 πρός] καὶ q. σχηματουργίας φανερόν q.

τίνος γὰρ ἕνεκεν ὁ Ἄρης μετὰ τῆς Ἀφροδίτης μοιχείας ἀποτελεῖ; οὐκ ἔστι δῆλον ὅτι πᾶσα μοιχεία ἐξ ἡδονῆς καὶ φόβου συνέστηκε, τοῦτ' ἔστιν ἀπὸ Ἄρεως καὶ Ἀφροδίτης; ὅρα δὲ πάλιν τὴν Ἀφροδίτην συνοῦσαν τῷ Κρόνῳ, πῶς ποιεῖ τοὺς οὕτω γεννηθέντας ἀσπέρμους, δυστέκνους, ῥυπαροὺς ἢ καὶ ἀγάμους, μίξας ἀμφοτέρων τὰς φύσεις. εὑρήσεις τὴν αἰτίαν· τοῦ γὰρ Κρόνου ψυχρᾶς καὶ ξηρᾶς φύσεως τετυχηκότος καί, περὶ ὧν προείρηται, ψύχοντος καὶ ξηραίνοντος τὸ ἡδονικὸν καὶ σπερματικὸν πνεῦμα, πῶς τεκνογόνος γενήσεται ἢ γάμους ἀρυπάρους ἕξει διὰ τὸ πρεσβυτικὸν ἢ ῥυπαρὸν τῆς φύσεως τοῦ ἀστέρος;

9. Περὶ τῆς τῶν τριγωνικῶν δεσποτῶν αἱρέσεως.

Ἑκάστης οὖν τριγωνικῆς πλευρᾶς — τριγωνικῆς δὲ λέγω τῆς διὰ ε' ζῳδίων ἀριθμουμένης· οἷον ἀπὸ Κριοῦ εἰς Λέοντα, καὶ ἀπὸ Λέοντος εἰς Τοξότην, καὶ ἀπὸ Τοξότου εἰς Κριὸν γίνονται ζῴδια ε' καὶ ἀποτελοῦσι τριγωνικὴν πλευρὰν <ἢ> γραμμὴν ἐν τῷ ζῳδιακῷ κύκλῳ ἀπὸ μοιρῶν ρκ'· τρὶς γὰρ ἑκατὸν εἴκοσι γίνονται μοῖραι τξ', ἅς τινας ἔχει μοίρας ὁ πᾶς ζῳδιακὸς κύκλος — ταύτης οὖν τῆς τριγωνικῆς πλευρᾶς δεσπόζουσιν ἡμέρας μὲν Ἥλιος, νυκτὸς δὲ Ζεύς· τούτων δὲ τρίτος καὶ ἐπίκοινός ἐστι Κρόνος. πάλιν Ταύρου Παρθένου Αἰγοκέρωτος δεσπόζουσιν ἡμέρας μὲν Ἀφροδίτη, νυκτὸς δὲ Σελήνη, τρίτος δὲ καὶ ἐπίκοινος Ἄρης. πάλιν Διδύμων Ζυγοῦ Ὑδροχόου δεσπόζουσιν ἡμέρας μὲν Κρόνος, νυκτὸς δὲ Ἑρμῆς, τρίτος δὲ καὶ ἐπίκοινος Ζεύς. πάλιν Καρκίνου Σκορπίου Ἰχθύων δεσπόζουσιν ἡμέρας μὲν Ἀφροδίτη, νυκτὸς δὲ Ἄρης, τρίτος δὲ καὶ ἐπίκοινος Σελήνη. τούτων δὲ τῶν τριγωνικῶν δεσποτῶν τὰς χρήσεις καὶ τὰ ἀποτελέσματα ἐν τοῖς ἔμπροσθεν εὑρήσεις.

10. Περὶ τῶν λς' δεκανῶν καὶ τῶν παρανατελλόντων αὐτοῖς καὶ προσώπων.

Est caput Porphyrii περὶ τῶν λς' δεκανῶν κτλ., p. 199 sq. Ad quod afferam ex Laurentiani discrepantiis haec : Porph. 199, 48 : β] ιβ'. 51 κατεμέρισαν. 52 δὲ τούτοις. 53 προειρημένοι. 54 ἅ τινα.

1 γὰρ om. L. οὐκ — τοῦτ ἔστιν] τοῦτ' ἔστιν πᾶσα κτλ. συνέστηκεν ἤτοι q. 5 ἢ om. q : ἢ καὶ om. r. ἀμφοτέρας q. καὶ τὴν αἰτίαν εὑρήσεις r. 6 κράσεως q. 7 περὶ ὧν] καθὼς q. προείρηται : scilicet in capite Περὶ τῆς τῶν πλανωμένων φύσεως, quod legitur in cod. s fol. 144v. καὶ ψύχοντος L. 8 τεκνογόνον codd., corr. Kroll. ἡ γαμούσα ρυπαροὺς L : ἢ γάμους ῥυπαροὺς r : ἢ γάμον ἕξει ἀρύπαρον q. 9 ἢ καὶ ῥυπαρὸν q. 10 περὶ τριγωνικῆς δεσποτίας r. — Cf. Doroth. ap. Heph., I, 6. Ptol., II, 2. 11 ἑκάστη r. post πλευρᾶς r addidit λόγον ἔχει τοιόνδε. 12 post ζῳδίων q inseruit ἀπὸ οἱουδήποτε ζωδίου. 14 ἢ suppl. γραμμικὴν q. 15 τοῖς γὰρ κέντροις r. μοίρας ἔχει q. 16 δεσπόζει L. 19 σελήνη r et man. 2 L; ἄρης man. 1 L. τούτων δὲ τρίτος r ἄρης q et L man. 2 : ζεὺς L man. 1. 20 πάλιν διδύμων — ζεὺς om. L r : in marg. L addidit man. 2. 22 δεσπόζει L. τρίτος usque ad finem capituli om. q p. 23 δεσποτικῶν r. 24 ἐν τοῖς ἐμπρ. εὑρ.] ταῦτα ὑπογραψόμεθα r.

200, 1 προειρημένους ἢ ἐπικειμένους. 5 φιλότιμον] φίλοπλον. 6 τοῦ] τὸν ἥλιον. 9 οὗτοι] οὐκέτι. Cod. r addit post ὑπεδείχθησαν:

Ταῦτα δὲ πάνυ καλῶς Τεῦκρος ὁ Βαβυλώνιος ἐξέθετο· ἡμεῖς δὲ μερικῶς ὑπομνήσομεν οὕτως.

Ἰστέον ὅτι ἓν ἕκαστον ζῴδιον δεκανοὺς ἔχει τρεῖς· ἕκαστος δὲ δεκανὸς κεκλήρωται μοίρας δέκα· ἐν ἑκάστῃ δὲ μοίρᾳ ποιεῖ ὁ Ἥλιος ὥρας κδʹ ἤτοι νυχθήμερον ἕν.

Δεκανῷ αʹ Κριοῦ ποιεῖ κινδύνους, ἐπιβουλάς, ῥεύματα· ἐν δὲ τῷ βʹ πλουσίους καὶ ἐνδόξους, πλὴν ταχυθάνατοι· ἐν δὲ τῷ γʹ νόσους, θορύβους, ἐν νεότητι κακοπάθειαν, εἰς δὲ τὸ γῆρας εὐφροσύνην.

Δεκανῷ αʹ Ταύρου ποιεῖ τὸν γεννηθέντα ἐξ ἀλλοτρίων πλούσιον καὶ ἐπίδοξον· ἐν δὲ τῷ βʹ ποιεῖ τὴν νεότητα μοχθηρὰν καὶ τοὺς κινδύνους ταχέως διαφεύγοντας· ἐν δὲ τῷ γʹ ποιεῖ στρατιώτας, εὐποριστάς, βεβαίους, συστατικούς, πολυχρονίους.

Δεκανῷ αʹ Διδύμων ὁ γήμας οὐκ εὐτυχήσει, οὐκ ἐπιτηδεύσει, καὶ ἐπὶ τέκνοις λυπηθήσεται· ἐν τῷ βʹ ἕξει γάμον οὐκ ἐπιτήδειον, σημαίνει δὲ εὐφορίαν στρατιῶν· ἐν δὲ τῷ τρίτῳ ποιεῖ πλουσίους, ἐνδόξους, ἄρχοντας, πλὴν ταχυθάνατοι.

Δεκανῷ αʹ Καρκίνου ποιεῖ δημοσιοπράκτους, καὶ ἐπὶ τέκνοις λυπηθήσονται, περιλύπους ἐν νεότητι, εἰς δὲ τὸ γῆρας εὐτυχεστάτους· ἐν δὲ τῷ βʹ ὁ γήμας εὐχρηματίσει καὶ ἐξ ἀλλοτρίων πραγμάτων ὠφεληθήσεται καὶ λυπηθήσεται ὑπὸ γυναικός· ἐν δὲ τῷ γʹ ὁ γεννηθεὶς εὔγλωττος καὶ ἐν νεότητι περίλυπος, εἰς δὲ τὸ γῆρας εὐφρανθήσεται.

Δεκανῷ αʹ Λέοντος ἄρχοντας ποιεῖ καὶ πλουσίους, καὶ ἐν τῷ τέλει εὐπορήσει, καὶ γυναῖκα προθάψει· ἐν δὲ τῷ βʹ καὶ γʹ φαυλότητα ποιεῖ καὶ μοχθηρίαν ἀποτελεῖ καὶ τὸν ξενιτεύοντα διαφθείρει.

Δεκανῷ αʹ Παρθένου κινδύνους ποιεῖ, καὶ οἱ γεννώμενοι ὀρφανοὶ ταχέως γενήσονται· ἐν δὲ τῷ βʹ καὶ γʹ εὐτυχεῖς ποιεῖ καὶ ἀπὸ γυναικείων συναφειῶν πλουτήσουσιν· πλὴν λυπηθήσονται ἐν γονεῦσι καὶ τέκνοις.

Δεκανῷ αʹ Ζυγοῦ ὁ γεννηθεὶς ἐν νεότητι κινδυνεύσει, ὕστερον δὲ κτήσεται προφάσει ὑπογείων <ἢ> ἀπὸ εὑρημάτων· ἐν δὲ τῷ βʹ πλουτήσει ἐν τετραπόδοις πλὴν ταχυθάνατος· ἐν δὲ τῷ γʹ νόσους καὶ θορύβους ὑποστήσεται ἐν νεότητι, ἐν δὲ τῷ γήραϊ εὐφρανθήσεται ὑπὸ πολλῶν τρόπων.

Δεκανῷ αʹ Σκορπίου ἐξ ἑρμαϊκῶν ὠφεληθήσεται καὶ κληρονόμος ἀναφανεῖται ἐνδόξων πραγμάτων· ἐν δὲ τῷ βʹ κινδύνους ὑποστήσεται ἐν

3 Excerptum Teucri π. τ. παραν. in cod. Laur. 28, 34, f. 134v invenitur (cf. p. 69, n. 1). Textus ab hocce differt 4 Post οὕτως addit manus 1 in codice r: ἤτοι καὶ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ ἔμπροσθεν, scilicet in capitulo περὶ δεκανῶν ἀσελγοποιῶν (r, fol. 145v). 16 ἕξει scripsi; εἰς r. 20 correxi ex περίλυποι r. εἰς] ἐν r. 27 γενόμενοι r. 28 γυναικίαν συνάφειαν r. 29 πλουτίζουσιν r. γονεῖς r. 31 ἢ add. Kroll. 33 γήρει r (talia porro non adnotavi). 36 ἀναφανεῖ r.

νεότητι· ἐν δὲ τῷ γ' ὁ γεννηθεὶς στρατεύσει καὶ πολυχρονίσει πολλὰ καὶ γυναῖκα προθάψει καὶ ἐν τῷ γήραϊ πλουτήσει.

Δεκανῷ α' Τοξότου ὁ γεννηθεὶς οὐκ ἐπιτηδεύσει ἐν γυναιξὶ καὶ ἐπὶ τέκνοις λυπηθήσεται· ἐν δὲ τῷ β' ἄλυπον βίον ζήσεται, πλὴν ἐπὶ ξένοις τελευτήσει· ἐν δὲ τῷ γ' πλουσίους καὶ ἐνδόξους ποιεῖ καὶ κληρονομίαν λήψεται ἐκ γυναικός.

Δεκανῷ α' Αἰγοκέρωτος δημοσιοπράκτους ποιεῖ, καὶ ἐπὶ τέκνοις λυπηθήσονται, καὶ ἐν νεότητι κινδυνεύσουσιν καὶ εἰς τὸ γῆρας εὐτυχήσουσιν· ἐν δὲ τῷ β' εὐχρήστους ποιεῖ καὶ ἐξ ἑτέρων πραγμάτων ὠφελουμένους· ἐν δὲ τῷ γ' ὀξὺς γενήσεται, εὔγλωττος, πατρικὰ χρήματα ἀπολέσας· ἐν νεότητι κακοπαθήσει, ἐν δὲ τῷ γήραϊ εὐφρανθήσεται.

Δεκανῷ α' Ὑδροχόου ἀγαθὸς γενήσεται καὶ εὐμετάβουλος καὶ ἐν γυναιξὶν εὐάρμοστος· ἐν δὲ τῷ β' καὶ γ' φαύλους ποιεῖ, καὶ ἐν νεότητι μοχθηρίαν· πραγμάτων φθορεὺς καὶ ἔνυλός τε καὶ ἔνυγρος.

Δεκανῷ α' Ἰχθύων ὁ γεννηθεὶς πονηρός, ἔνυγρος, ψευδολόγος, πλὴν ταχυθάνατος· ἐν δὲ τῷ β' καὶ γ' ποιεῖ εὐτυχεῖς καὶ ἐξ ἑτέρων πραγμάτων ὠφελουμένους καὶ ἐν γάμοις εὐτυχοῦντας καὶ ἐν τέκνοις λυπηθήσονται.

11. Περὶ <τῶν> τῶν ἀπλανῶν λαμπρῶν ἀστέρων καὶ τῶν παρανατελλόντων δυνάμεων.

Est caput Porphyrii Περὶ τῶν ἀπλανῶν λαμπρῶν ἀστέρων κτλ. (p. 200). Hae sunt codicum L et r lectiones memoratu dignae : Porph. p. 200, 20 ὁ τύπος ὁ L. τύπος δὲ r. 24 αὐτῶν εἶναι L. 27 εὗρον αὐτοὺς post ἕκτου μεγέθους habent Lr. 29 καθ' ἃ προειρήκαμεν L, καθ' ἃ προείρηται r. 33 λ'] λη' r. τοῦ α' καὶ τοῦ β' μεγέθους L, τοῦ α' καὶ β' μεγ. r. 34 ἐπὶ τῷ ὡροσκόπῳ et ἐπὶ τῷ μεσουρανήματι Lr. 36 σχηματίζοντες om. Lr. 39 ἀγαθώτερα Porph. et L; quod r sic correxit : εὔχρηστον ἔσται τὸ ἀποτέλεσμα τῆς ψυχῆς, εἰ δὲ κακοποιοῦ, χεῖρον. 40 post ultimum verbum addit Rhetorius : εὑρήσεις δὲ τὰ ἀποτελέσματα τῶν εἰρημένων ἀστέρων ἐν τοῖς ἑξῆς (τῶν εἰρ. ἀστ. om. L).

12. Περὶ τῶν ὁρίων κατ' Αἰγυπτίους καὶ Πτολεμαῖον καὶ λαμπρῶν καὶ σκιερῶν μοιρῶν.

Est caput Porphyrii Περὶ (editum ἐπὶ) τῶν ὁρίων κτλ., p. 200 sq. Has codd. Lr lectiones notavi : 200, 40 ζῴδια] ὅρια Lr. 45 δέκα r. 46 κατὰ τὴν Lr. ἅς τινας-εὑρήσεις om. r. 49 pro αὗται scriptum in L : μετὰ δὲ τῶν ὁρίων αὐταί. 51 καὶ ἄλλαι-πλανήτων om. Lr. 52 pro ὅταν — 54 τύχην haec inveniuntur in Lr : ὅταν οὖν τις τῶν

1 πολυχρονήσει r. 6 λήψει r. 13 εὐάρμοτος r. 19 τῶν addidi. λαμπρῶν om. r. 20 δυνάμεων] αὐτοῖς r. 33 σκιαρῶν L. 38 τι L.

ἀστέρων εὑρεθῇ <ἐν> οἴκῳ ἀγαθοποιοῦ καὶ ὁρίοις ἀγαθοποιοῦ λόγον ἔχων πρὸς τὴν γένεσιν, ἀγαθοποιοῖ τὴν τύχην· ἐὰν δὲ εὑρεθῇ <ἐν> οἴκῳ μὲν ἀγαθοποιοῦ, ὁρίοις δὲ κακοποιοῦ, ἐλαττοῖ τὸ ἀγαθὸν τῆς τύχης. εἰ δὲ τύχοι <ἐν> οἴκῳ κακοποιοῦ καὶ ὁρίοις κακοποιοῦ, κακοῖ καὶ ἀμαυροῖ τὴν τύχην. 54 ἢ] εἰ L. 201, 1 ἀποτελεσματουργίαν r. 4 τὴν ὑπόμνησιν r. 5 συμβαλλόντων-μόνοις om. r. συμβαλλόντων δὲ τὰ ὅρια αὐτοῦ ἐν τοῖς αὐτῶν ἀποτελέσμασιν μόνοις L. 6 οἱ δὲ L, οἱ οὖν r. 8 οἵπερ r. 9 ταύτας r. 10 ἠναγκάσθην r.

13. Περὶ τῶν ἀναφορῶν τῶν ζʹ κλιμάτων.

Τὰς ἀναφορὰς τῶν ζʹ κλιμάτων ὑπέταξεν ὁ Πτολεμαῖος ἀκριβῶς κατὰ λεπτὸν διερευνήσας καὶ τούτων δεόμεθα ἐν πάσαις γενεθλιακαῖς μεθόδοις καθὼς ὑπετάξεν ἐν τῷ προχείρῳ κανόνι αὐτοῦ· οἱ δὲ Αἰγύπτιοι καὶ Οὐάλης παχυμερεστέρως μὲν ὑπέταξαν τὰ ζʹ κλίματα, ἐνεργῶς δὲ καὶ τούτων δέομεθα ἐν ταῖς τῶν ζῳδίων καὶ τῶν ἀστέρων συνανατολαῖς καθ' ἕκαστον κλίμα, καθώς φησιν ἐν τοῖς ἑαυτοῦ ἀποτελέσμασιν Οὐάλης.

14. Περὶ τῆς τῶν ζῳδίων μελοθεσίας.

Est caput Porphyrii p. 201. Haec adnotavi ex cod. L : p. 201, 12 Τὰς μελοθεσίας τῶν ἀνθρώπων L. 14 τὰ ἀσινῆ] τὸν ἀσίνη L (pro τὰ σίνη, cf. Ptol. *Tetrab.* III, 17). 15 τῶν κλήρων L. 16 αὐτῶν L. καὶ] γὰρ L. 19 σαφῶς ποιησάμενος L. κατὰ etiam in L habetur.

15. Περὶ τριγώνων καὶ τετραγώνων καὶ διαμέτρων καὶ τῶν ἀσυνδέτων λόγον ἐχόντων πρὸς ἄλληλα ὡς ἐν τύπῳ διαμέτρων.

Est caput Porphyrii p. 201 sq. In codd. Lr has inveni varias lectiones : p. 201, 24 συσχηματισμῶν L. 25 καθεστήκασι τρεῖς r καὶ μείζων et πασῶν om. r. 26 κατὰ — ἀπεδείξαμεν om. r. 28 ἀποδείξομεν L. post χρονικὴ praebet r : ὡς ὑπέταξαν τινὲς τῶν ἀναφορῶν τῶν ζωδίων· ἡ δὲ γʹ κτλ. 29 ἂν recte om. r. 30 ὑπέταξαν Lr. 31 καὶ τῶν ἀναφ. L. 32 καὶ κοινὴ] ἢ κοινὴ L, ἢ καινὴ r. καθολικὴ λέγεται r. καθ'] εἰς L. καθ' — πλανώμεθα om. r. 34 ὁ τοῦ ἡλίου r. 35 ἐφάνθη] ἐθαυμάσθη Lr. προσήλιον L. 37 πλατυκῶς] βλαπτικῶς r.

1 εὑρεθῇ om. r. ἐν suppl. οἴκω ἀγαθοποιῶ r. 2 πρὸς r] καὶ L. τύχην] ψυχὴν r. ἐὰν scripsi : εἰ Lr. ἐν suppl. οἴκῳ om. r. 4 καὶ om. r. 5 τῇ τύχῃ L; τὴν ψυχὴν r. 10 Cf. Ptolemaei et Theonis tabul. ed. Halma, II, 2 sqq. 13 Οὐάλεις codd. 15 συνανατολλαῖς L. ἐν τοῖς ἑαυτ. ἀποτ. καθὼς φησί L. 22 In cod. n sic inscribitur capitulo : περὶ τῆς πλευρᾶς τῶν τριγωνικῶν καὶ τετραγωνικῶν καὶ ἑξαγωνικῶν σχημάτων; in cod. r : περὶ τριγωνικῶν τετραγωνικῶν καὶ ἑξαγωνικῶν ὡς ἐν τύπω διαμέτρων.

38 οὔτε μὴν r. ἐντὸς τῶν L. 39 οὔτε δὲ r. 40 τῶν] τούτων L. 42 ἐπειδὴ οὐ L. 43 συνίσχεν L. μερικὴ L. 45 διὰ — πτολεμαίου om. r. 47 ἐνήθην r. 48 δι' ὑποδείγματος L : διὰ ὑποδείγματος r. 49 ἐν κριῷ L. εἶναι] ὧν r. 50 β] ιβ' Lr. καὶ τὸν ἄρεα] τὸν δὲ ἄρεα L, τὸν δὲ ἄρεα καὶ r. 51 ε'] ιε' Lr. ποιῶν r. ἀναφορὰ L, ἀναφορὰν r. κα' λεπτὰ μ' r. 52 ς' καὶ L, καὶ r (ς' om.). ἀναφοραὶ διδ. r. ἀναφοραὶ καρκίνου Lr. 54 ρμ'] ρκ' Lr. εὑρίσκων r. περὶ τὴν r. p. 202, 1 ὥρας] ς' μοίρας L, μοίραν r. τοὺς — εὑρίσκω] τὴν ἀναφορὰν τοῦ λέοντος, τοῦτ' ἔστιν τοὺς λε' γίνονται ο'· τούτους ποιήσας ἑνδεκάκις ἥμισυ εὑρίσκονται r. 2 ἐνδεκάκη L. καὶ ς''] καὶ ἥμισυ L. 3 ποιῶν διὰ τῶν ξ' γίνονται χρόνοι ρκε' r (om. ἔσται — ὁμοῦ). ξ' ἔσται χρόνοι] ἑξηντα γίνονται χρόνοι L. 5 ια' ς''] ια' r. 7 πρώτην om. r. τὸν ♃''] εἶναι μὲν δία L, εἶναι τὸν μὲν r. 8 ὑπὸ] ἀπὸ r. ζωδιακῶς καὶ χρονικῶς Lr. 9 ἀπολείπονται r. 11 οὔτω — 28 ἀποτετμημέναι om. r. 13 λε'] με' L. παρὰ τὰς] περὶ τῆς L. 14 διπλώσας L. 15 τοὺς] τοῦτέστιν τοὺς λε' γίνονται L. 16 παρὰ τὸν L. χρόνους χιλίους τριακοσίους ε' L. 17 ἀσποιῶ L. 18 χρόνοι om. L. 19 ιη' ϛζ' μοῖραι L. 20 ἀποτελοῦσαι L. 21 μοῖραν om. L. 24 ροθ' χρόνοι οἵ τινες] ριθ' Νε' αἵ τινες L. 26 κύκλου L. 27 ιαω'] α' L. 29 αἵτινες Lr.

16. Περὶ ἀσυνδέτων ζῳδίων καὶ συμπάθειαν ἐχόντων πρὸς ἄλληλα.

Ἀσύνδετα μὲν ζῴδιά εἰσι, συμπάθειαν δὲ ἔχοντα πρὸς ἄλληλα πάντα τὰ ἰσανάφορα ζῴδια καὶ ἰσοδυναμοῦντα καὶ ὁμοζωνοῦντα οἷον ἰσανάφορα μὲν Κριὸς καὶ Ἰχθύες, Δίδυμοι καὶ Αἰγόκερως, Καρκίνος καὶ Τοξότης, Παρθένος καὶ Ζυγός· ἰσοδυναμοῦντα δὲ Δίδυμοι <καὶ> Καρκίνος, Παρθένος καὶ Κριός, Ζυγὸς καὶ Ἰχθύες, Τοξότης καὶ Αἰγόκερως· ὁμοζωνοῦντα δὲ Ταῦρος πρὸς Ζυγόν, Κριὸς πρὸς Σκορπίον. καὶ τὰ μὲν πλησία ἀλλήλων ζῴδια ἀσύνδετα παντάπασιν ἄχρηστα πρὸς συμπάθειαν καθεστήκασιν. συμβάλλεται δὲ τοῦτο τὸ κεφάλαιον εἰς τὰς συναναφορὰς τῶν ζῳδίων καὶ τὰς συνανατολὰς τῶν ἀστέρων, καὶ πρὸς τὰς φιλίας τε καὶ συμπαθείας ἀνδρῶν τε καὶ γυναικῶν καὶ γονέων καὶ ἀδελφῶν καὶ φίλων καὶ δούλων.

20 τῶν ασυνδέτων Lq. 22 diversa docent Porphyrius, p. 193 : περὶ ἀσυνδέτων ζῳδίων, et Paul. Al. D 4v. εἰσιν] καὶ r. ἐχόντων Lr. 23 πάντα om. r. εἰς ἀναφορὰ r. οἷον om. r. 24 ἰσανάφορα : cf. Ptol., *Tetrab.*, I, 12. Anon. apud Maxim. ed. Ludwich, p. 106, 5. 25 Κριὸς — 26 Ζυγὸς] `♈ ´□ ♑ ″♓ ´♋ ´♍ `♎ r. Cod. q perperam hic enumerat etiam ἰσανάφορα, ἰσοδυναμοῦντα, ὁμοζωνοῦντα non ἀσύνδετα vel tetragona. 25 ἰσοδυναμοῦντα : cf. Ptol., *Tetrab.*, I, 13. Hephaest. I, 10. Geminus, p. 10 D sq. 27 ὁμοζωνοῦντα : cf. Anon. apud Max. ed Ludwich, p. 106, 4 ταῦρος] τὰ r. 28 πλησία καὶ r; πλησίον q. ἀσύνδ. παντάπ. om. r. ἀχώριστα q. 29 τὸ om. r. 30 συναναφορὰς r. 31 τε om. rq.

17. Περὶ τετραγώνων συμπαθῶν τε καὶ ἀσυμπαθῶν.

Τὰ μὲν οὖν συμπάθειαν ἔχοντα πρὸς ἄλληλα ζῴδια κατὰ τετράγωνον ζῳδιακὴν πλευράν εἰσι ταῦτα· Ταῦρος πρὸς Ὑδροχόον, καὶ Λέων πρὸς Σκορπίον διὰ τὸ ἰσανάφορον· πάλιν Λέων πρὸς Ταῦρον καὶ Σκορπίος πρὸς Ὑδροχόον διὰ τὴν ἰσοδυναμίαν· καὶ Δίδυμοι πρὸς Παρθένον καὶ Τοξότης πρὸς Ἰχθύας διὰ τὴν ὁμοζωνίαν. τὰ δὲ ἄλλα πάντα τετράγωνα ἄχρηστα εἰς συμπάθειαν τυγχάνουσιν. πᾶσα δὲ τετράγωνος πλευρὰ καθέστηκε διὰ μοιρῶν ϙ', ἡ δὲ ἑξάγωνος διὰ μοιρῶν ξ', τετράκις γὰρ ϙ' τξ' καὶ ἑξάκις ξ' τξ', ἡ δὲ διάμετρος διὰ μοιρῶν ρπ', δὶς γὰρ ρπ' γίνονται τξ', ἅς τινας ὁ πᾶς κύκλος ἔχει μοίρας.

18. Περὶ τῶν δωδεκατημορίων τῶν ἀστέρων.

Τὰ δωδεκατημόρια τῶν μοιρῶν τῶν ἀστέρων τριχῶς οἱ παλαιοὶ ἐξέθεντο· καὶ ὁ μὲν Παῦλος ἐν τῇ εἰσαγωγῇ αὐτοῦ εἶπεν ποιεῖσθαι ἴσας τὰς τοῦ ἀστέρος μοίρας παρὰ τὸν ιγ' καὶ ἀπολύειν ἀπὸ τοῦ αὐτοῦ ζῳδίου ἀνὰ μοιρῶν λ' καὶ ὅπου ἂν καταντήσῃ ὁ ἀριθμὸς, ἐν ἐκείνῳ τῷ ζῳδίῳ ἐστὶ τὸ δωδεκατημόριον τοῦ ἀστέρος. ὁ δὲ Δωρόθεος λέγει ἐν τῷ ια' βιβλίῳ παρὰ τὸν ιβ' ποιεῖσθαι τὰς μοίρας. ὁ δὲ Πτολεμαῖος λέγει ἐν τῷ κς' κεφαλαίῳ τοῦ α' βιβλίου παρὰ τὸν δύο ἥμισυ ἀπολύειν τὰς μοίρας κατὰ ζῴδιον. ἐγὼ δὲ ἐκ πείρας μᾶλλον εὗρον συναινοῦσαν τὴν μέθοδον Δωροθέου τῇ Πτολεμαίου· καὶ ταύταις μᾶλλον συναινῶ ταῖς μεθόδοις, λέγω δὲ ταῖς παρὰ τὸν ιβ', καὶ ταῖς παρὰ τὸν β' ἥμισυ· οὕτως γὰρ καταλήγουσιν αἱ δύο μέθοδοι εἰς τὸ αὐτὸ ζῴδιον, οἷον ὡς ἐν ὑποδείγματι· ἔτυχεν Σελήνη Ταύρῳ μοίρᾳ κε'· ταῦτα δωδεκάκις ποιήσας εὗρον μοίρας τ'· ταύτας ἀπέλυσα ἀπὸ Ταύρου ἀνὰ μοιρῶν λ' καὶ κατέληξεν Ὑδροχόῳ μοίρᾳς λ' εἰς ἀναπλήρωσιν τῶν ζῳδίων· πάλιν δὲ ταύτας τὰς κε' μοίρας ἀπέλυσα ἀπὸ Ταύ-

Cap. 17 in codd. n et r coniunctum est antecedenti (abest superscriptio). In cod. m inscribitur: Περὶ τῶν συμπαθούντων ἀλλήλοις ζωδίων κατὰ τετραγωνικὴν πλευρὰν. 2 Πάλιν οὖν τὰ μὲν r. ἐχόντων L. 3 et 4 καὶ et διὰ τὸ ἰσανάφορον om. r. 5 πάλιν — ὑδροχόον] καὶ ταῦρος πρὸς σκορπίον r. 6 τετράγωνα om. r. 7 εἰς] πρὸς r. τυγχάνουσιν om. r. 8 καθεστήκασιν q. δὲ] καὶ r. 9 καὶ ἑξάκις ξ' τξ' om. Lr. 10 γίνονται om. rq. ἅτινα L. ἃς μοίρας q. ἔχει μοίρας] ἀκριβῶς διαφέρει r. μοίρας om. q. 11 De ratione dodecatemoriorum v. Scaliger ad Manilium ed. a. 1665, pag. 162. 13 Laudat Pauli Alexandr. caput περὶ δωδεκατημορίου fol. H 4v. 17 Is fuit ultimus operis liber: v. supra p. 82 quae Olivieri exscripsit ex tractatu Masalae: Ὁ Δωρόθεος (ἐξέθετο) βιβλία ια'· ἤγουν περὶ γενεθλίων δ', περὶ ἐρωτήσεων γ'' περὶ λογισμοῦ γ' καὶ περὶ τῶν συνόδων α'. Sed in Rhetorii textu scribendum esse censeo ι' pro ια'; neque enim apte capitulum de dodecatemoriis quadrat ad librum περὶ συνόδων, immo vero ad libros περὶ λογισμῶν. — Eandem ac Dorotheus sequuntur rationem Manilius, II, 725 sqq.; Firmicus, II, 13; Hephaestio, I, 18. Comment. anon. in Ptol. *Tetrab.*, p. 48 (ubi idem Dorotheus laudatur). 17 Vide Ptolemaei *Tetrab.*, I, 22, ed. a. 1535, fol. 13r, 26. Neque tamen probat Ptolemaeus dodecatemoriorum doctrinam, immo omnem eorum vim aufert. Methodum a Ptolemaeo traditam enarrant commentarius anonymi in Ptol. *Tetrab.*, p. 47 sq. et Porphyrii *Introductio*, p. 194. 20 τῇ scripsi] τὴν L.

ρου ἀνὰ δύο ἥμισυ· καταλήγει ἐν Ὑδροχόῳ εἰς ἀναπλήρωσιν τοῦ ζῳδίου πρὸς τὰς δύο ἥμισυ μοίρας. εἰ δὲ ποιήσω τὰς κε′ παρὰ τὸν ιγ′ καταλήγει ὁ ἀριθμὸς εἰς τοὺς Ἰχθύας μοίρας κε′ καὶ αὔτη ἡ διαφορὰ πολλὴ καθέστηκεν. τὸ δὲ ἀναγκαῖόν ἐστιν ἡ τῶν δωδεκατημορίων μέθοδος εἰς τὰς γενέσεις· ὑπεθέμην δὲ αὐτῶν καὶ τὰ ἀποτελέσματα, ἵνα μὴ ὡς ἐν παρέργῳ τινὲς ταῦτα χρήσωνται.

19. Περὶ ἀκουόντων καὶ βλεπόντων.

Συμβάλλονται δὲ καὶ τὰ ἀκούοντα καὶ βλέποντα ζῴδια ἐπὶ φυγῶν καὶ κινδύνων, φάσεων ἅμα δὲ καὶ ἀγγελιῶν, τῆς Σελήνης πρὸς τὸν τοῦ Ἑρμοῦ ἢ τοὺς ἀγαθοποιοὺς κατὰ πάροδον φερομένης κατ' ἀρχῆς τῶν εἰς τοῦτο τὸ μέρος ἐξεταζομένων. εἰσὶν δὲ τὰ βλέποντα ζῴδια ἄλληλα ταῦτα· οἱ Δίδυμοι βλέπουσιν τὸν Λέοντα· καὶ ὁ Λέων βλέπει τοὺς Διδύμους· ὁμοίως δὲ καὶ ἀκούουσιν ἀλλήλων ὁ Σκορπίος τῆς Παρθένου καὶ ἡ Παρθένος τοῦ Σκορπίου καὶ ἑξῆς ἀκολούθως.

20. Περὶ ἐπιθεωρίας.

Τούτων οὕτως διαιρουμένων ἐπιθεωρεῖν λέγεται ἤτοι ἐπιμαρτυρεῖν ὁ ἡγούμενος τὸν ἑπόμενον ἤτοι κατὰ ἑξάγωνον ἢ τετράγωνον ἢ τρίγωνον ἢ διάμετρον· ἀπέρχεται γὰρ εἰς τὰ προηγούμενα φερομένου αὐτοῦ. τὴν γὰρ ἐναντίαν κίνησιν οἱ πλανῆται κινοῦνται τῶν ζῳδίων· ὅμως μέντοι ποιοῦνται τὸν ἴδιον δρόμον καὶ συμπεριφέρονται αὐτῷ καθ' ἑκάστην ἡμέραν καὶ νύκτα.

21. Περὶ ἀκτινοβολίας.

Ἀκτινοβολεῖν λέγεται κατὰ τὰ εἰρημένα δ′ σχήματα ὁ ἑπόμενος τὸν ἡγούμενον· ἡ γὰρ τοῦ πυρὸς αὐτοῦ ἀκτὶς ἐπὶ τὰ ἑπόμενα φέρεται αὐτοῦ ἀπιόντος ἐπὶ τὰ ἡγούμενα· οἷον ὁ ἐν Κριῷ ἐπιθεωρεῖ τὸν ἐν Καρκίνῳ· καὶ ὁ ἐν Καρκίνῳ ἀκτινοβολεῖ τὸν ἐν Κριῷ.

22. Περὶ δεξιῶν καὶ ἀριστερῶν πλευρῶν.

Δεξιὰ δὲ σχήματά ἐστιν τὰ ἐν τοῖς ἡγουμένοις τοῦ ζωδιακοῦ, ἀριστερὰ δὲ τὰ ἑπόμενα, οἷον Καρκίνος ὡροσκοπεῖ μοίρας λ′, δεξιὸν ἑξάγωνον

3 αὔτη scripsi] αὐτὴ L. 4 τὸ] Kroll coni. ὅτι. 5 δὲ del. Kroll. 6 χρήσονται L. 7 Abhinc multa manus recens (c. saec. XVI) correxit in L. περὶ βλεπόντων καὶ ἀκουόντων δεξιῶν καὶ ἀριστερῶν r (sequuntur cap. 19 et 22). — Cf. Porph., p. 193. Anonym. in Max. 106, 10. 8 συμβαλόντα r. δὲ καὶ] καὶ om. L. τὰ ἐπὶ r. 9 ἀγγέλων r. 10 ἢ — ἐξεταζομένων om. r. 12 τῷ λέοντι L. βλέπει om. r. 13 ὁμοίως — ἀλλήλων] καὶ τὰ ἀλλήλων ἀκούοντα r. κριός et κριῷ Lr pro σκορπίος et σκορπίου, quod scripsi secundum anon. in Ludw. Maximo. 14 καὶ ἑξ. ἀκ. om. r. In margine cod. L quaedam annotavit man. 1 nunc partim abscissa : ... τῶν κεφαλαίων ...με εἰς τὰς κτ : ο ...τε δραπετῶν ... ἀγγελιῶν καὶ ... παθείας, quae ad cap. 19 pertinere videntur, cf. Anon. in Ludw. Max., p. 112, 8. 15 Cf. Porph., p. 189, 20. 16 de ἐπιμαρτυρίᾳ v. Porph., p. 186. 22 Cf. Porph., p. 189, ex quo Haephastio, I, 16 nonnulla ad verbum exscripsit. τῶν ἡγουμένων L. 25 ὁ q et L man. 2ª (om. man. 1). τὸν] τοῦ L. 27 om. r, v. supra ad capit. 19. — Cf. Porph., p. 187. Firm., II, 22. 28 Τὰ μὲν δεξιὰ σχήματα τοῦ ζωδιακοῦ εἰσὶ τὰ ἡγούμενα r. 29 ὡροσκοπεῖ om. r.

Δίδυμοι μοίρας α', τετράγωνον δὲ Ταῦρος μοίρας α', τρίγωνον Κριὸς μοίρας α' καὶ πᾶν τὸ ὑπὲρ γῆν ἡμισφαίριον. ἀριστερὸν δὲ ἑξάγωνον Παρθένος μοίρας λ', τετράγωνον Ζυγὸς μοίρας λ', τρίγωνον Σκορπίος μοίρας λ' καὶ πᾶν τὸ ὑπὸ γῆν ἡμισφαίριον. δεξιὰ οὖν σχήματά ἐστιν ὅσα ἐν τοῖς ἡγουμένοις ἐστὶν ἀφ' οἵου δήποτε οὖν μέρους τοῦ ζῳδίου, ἀριστερὰ δὲ τὰ ἑπόμενα.

23. Περὶ δορυφορίας τῶν ἀστέρων.

Δορυφορία δέ ἐστιν, ὅταν ἐν οἴκῳ ἢ ὑψώματι ἰδίῳ ἀστέρα ἐπίκεντρον ἕτερος ἐν οἴκῳ ἢ ὑψώματι ἰδίῳ ἀκτινοβολῇ οἷον τῆς Ἀφροδίτης ἐν Ζυγῷ οὔσης, Κρόνου δὲ ἐν Αἰγοκέρωτι ἀκτινοβοληθήσεται ὑπὸ Κρόνου· ἢ πάλιν Κρόνου ἐν Ζυγῷ ὄντος ἀκτινοβολήσει αὐτὸν ἀπὸ τοῦ Αἰγοκέρωτος Ἄρης, ἢ πάλιν ἀντὶ τοῦ Κρόνου τὴν Ἀφροδίτην· ἢ πάλιν ὁ Ζεὺς ἀπὸ τοῦ Τοξότου, καὶ Ἀφροδίτη ἐν Ζυγῷ· ἢ ἔμπαλιν κειμένων τῶν ἀστέρων εἰς τὸν ὡροσκόπον ἢ τὸ μεσουράνημα ἐν ἡμερινῇ γενέσει ἡμερινός, νυκτερινῇ δὲ νυκτερινὸς δορυφορήσει, κἂν ἐν ἀλλοτρίῳ οἴκῳ ἢ ὑψώματι τυγχάνῃ ὅ τε δορυφορῶν καὶ ὁ δορυφορούμενος· ἢ ὅταν ἐπίκεντρος ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι φωστὴρ ᾖ, κἂν ἐν ἀλλοτρίῳ οἴκῳ τυγχάνῃ ἀστὴρ τῆς αἱρέσεως, ἀκτινοβολήσει Ἥλιον μὲν εἰς τὴν προαναφερομένην μοῖραν, Σελήνην δὲ εἰς τὴν ἐπαναφερομένην· οἷον ἐπὶ τοῦ ὡροσκόπου Σελήνης οὔσης ἡ Ἀφροδίτη ἐκ Παρθένου ἢ ἀπὸ Ζυγοῦ ἀκτινοβολήσει. ἔτι δὲ δορυφορία λέγεται, ὅταν τοῦ Ἡλίου ἢ τῆς Σελήνης ἐπικέντρων ὄντων ἀστὴρ τῆς αἱρέσεως δορυφορήσῃ.

24. Περὶ δορυφορίας παραιρέτων.

Παρ' αἵρεσιν δὲ δορυφοροῦσιν, ὅταν οἱ ἡμερινοὶ τοὺς νυκτερινοὺς δορυφορήσωσιν καὶ οἱ νυκτερινοὶ τοὺς ἡμερινούς.

25. Περὶ συμφωνίας.

Σύμφωνοι δὲ καὶ ἄλλων μείζονες αἱ τριγωνικαὶ δορυφορίαι καὶ αἱ τετράγωνοι· αἱ γὰρ ἑξάγωνοι ἀνειμένως ἐνεργοῦσιν.

1 pro α' in L man. 2 corr. λ'. μοίραν μίαν L. 3 Λέων μοίρ. λ', τετράγωνον Παρθένος μοίρ. λ', τρίγωνον ζυγός codd., correxi. μοίραν L. 5 ἐστὶν ἀφ'] ἐστὶν om. r. μέρος r. 7 Cf. Porphyr., p. 190 sq. et Hephaest., I, 17, quem omnia sua ex Porphyrio esse mutuatum Engelbrechtium fugit. — In m inscribitur : περὶ δορυφορίας; in r : π. δορυφορίας ἀστέρων. 9 ἀκτινοβολήσει L; ἀκτινοβολεῖ r. 12 ἀντὶ L q| αὐτὸν r. τῇ ἀφροδίτῃ ἢ ὁ ζεὺς L; τῇ ἀφροδιτῃ ἢ πάλιν ὁ ζεὺς r; τὴν ἀφροδίτην ἢ τὸν δία q. 14 τὸ] τῷ r. 16 τυγχάνει L : τύχει r : τυγχάνωσιν q. ὅ τε] εἴτε ὁ r. ὁ om. L. 17 ἐπίκεντρον L. ἐν τῷ corr. L[2]] τὸν L[1] r. ὡροσκόπον L[1] (corr. man. 2). μεσουράνημα L[1] (corr. L[2]). φωστῆρα L : φωστήρει r. 18 μὲν εἰς τὴν L] ἢ r. 19 δὲ καὶ r. 20 ἐν παρθένῳ r. 23 cap. 24 in codd. a, m, n, o, p, q sine titulo cum priore coniungitur; in cod. r capitul. 24 non extat. 27 καὶ om. L. ἄλλων scripsi] ἀλλήλων Lq. 28 ἀνειμέναι L.

26. Περὶ ἐπιδεκατείας.

Ἐπιδεκατεία καὶ καθυπερτέρησίς ἐστιν, ὅταν <ἀστὴρ> ἐν τῷ δεκάτῳ τόπῳ κείμενος τῷ εὐωνύμῳ τετραγωνίζῃ. Καρκίνος ὡροσκόπος ἔσται· καθυπερτεροῦσιν οὖν οἱ ἐν Κριῷ τὸν ἐν Καρκίνῳ. ἑτέρα δὲ λέγεται καθυπερτέρησις, ὅταν ἐν δεξιῷ τόπῳ ὑπάρχων τις τὸν ἐν τῷ ἀριστερῷ τριγώνῳ ἢ τετραγώνῳ ἢ ἑξαγώνῳ ἐπιθεωρῇ.

27. Περὶ κακώσεως καὶ ἀχρηματίστων τόπων.

Κάκωσις λέγεται, ὅταν ὑπὸ κακοποιῶν τις ἀκτινοβολῆται ἢ ἐμπεριέχηται, ἢ ἐν συναφῇ φθοροποιοῦ ἢ ἐν κολλήσει γένηται, ἢ διαμετρῆται, ἢ οἰκοδεσποτῆται ὑπὸ κακῶς κειμένου ἐν τοῖς ἀχρηματίστοις τόποις, οἵ εἰσιν τὸ ἕκτον ἀπὸ ὡροσκόπου καὶ ὁ τρίτος καὶ ὁ δεύτερος καὶ ὁ ὄγδοος καὶ ὁ δωδέκατος.

28. Περὶ χρηματιζόντων <τόπων>.

Χρηματιστικοὶ μὲν τόποι εἰσὶ τὰ τέσσαρα κέντρα καὶ τὰ β' τρίγωνα ἑκάτερα τὰ ὡροσκόπου καὶ ἡ ἐπαναφορὰ τοῦ μεσουρανήματος.

29. Περὶ ἰδιοπροσωπίας.

Ἰδιοπροσωπεῖν λέγεται, ὅταν πρὸς <τὸν> Ἥλιον ἢ τὴν Σελήνην ἀστήρ τις προσεγγίζηται, ὥσπερ ὁ οἶκος αὐτοῦ πρὸς τοὺς αὐτῶν οἴκους, πρὸς Ἥλιον μὲν ἑσπέριος, πρὸς δὲ τὴν Σελήνην ἑῷος· οἷον Ἥλιος μέν ἐστιν Λέοντι, Σελήνη δὲ Καρκίνῳ, Ἀφροδίτη δὲ Ταύρῳ· τοῦ Ἡλίου ὄντος ἐν Λέοντι γνωστὸν ὅτι ἰδιοπροσωπεῖ· ἔστι γὰρ ἐν ἰδίῳ οἴκῳ καὶ ἀρρενικῷ ζῳδίῳ· εἰ δὲ ἦν ἐν Ταύρῳ Ἀφροδίτη, ὁμοίως ἰδιοπροσωπεῖ οὔσης τῆς Σελήνης ἑῴας καὶ ἐν θηλυκῷ ζῳδίῳ.

30. Περὶ μετοχῆς.

Μετοχὴ δέ ἐστιν, ὅταν δύο πλάνητες ἐπιπαρῶσι ζῳδίῳ ἑνὶ ἢ ἐφορῶσιν αὐτό, τυγχάνει δὲ τοῦ μὲν οἶκος, τοῦ δὲ ὕψωμα.

1 περὶ ἐπιδ κατείας καὶ καθυπερτερήσεως a, m, q. — Cf. Porph., p. 188. 2 ἀστὴρ suppl. αὐτῷ codd., δεκάτῳ scripsi. 3 τὴν εὐώνυμον q. ἔσται] ἔσται κριὸς μεσ-συράνημα q. 4 τὸν] τοῦ q. 5 τὸν scripsi] τῶν L; τοῦ q. 7 κακώσεων L. Fere totum caput exscriptum est ex Porph., p. 190. 8 κάκωσις δὲ q. 10 κακοῦ L, corr. man. 2 οἱ — δωδέκατος om. a, m, q. 13 L[2] add.: καὶ ἀγαθῶν καὶ πρακτικῶν τόπων τοῦ πίνακος. In codd. a, m, n, q hoc capitulum cum priore coniungitur. — Cf. Porph., p. 193. 14 μὲν L m] δὲ a q. 15 ἑκατέρου τοῦ q. τὰ] τοῦ coni. Kroll. ἐπαναφορά Porph., q; ἀναφορὰ L. 16 cf. Hephaest., I, 19. ἰδιοτροπίας et 17 ἰδιοτροπεῖν r. 17 καὶ r. 18 ὁ οἶκος] ὡς εἰκὼς r. 19 ἑσπέριοι et ἑῷοι codd. 23 οὖσα L. post ζῳδίῳ interpolavit r: ὡσαύτως ὁ κρόνος ἐν αἰγοκέρωτι καὶ ζεὺς ἐν τοξότῃ καὶ ἄρης ἐν κριῷ καὶ ἑρμῆς καὶ (sic) ἐν διδύμοις κατὰ τὸν τῆς ἀκολουθείας λόγον. 25 ἑνὶ om. L. — Cf. Porph., p. 190.

31. Περὶ ἀνταναλύσεως.

Ἀντανάλυσις δέ ἐστιν, ὅταν οἱ ἡμερινοὶ τοὺς τῶν νυκτερινῶν τόπους ἔχωσι καὶ οἱ νυκτερινοὶ τοὺς τῶν ἡμερινῶν, ἢ ὅταν ἐπικείμενοι τοῖς ζῳδίοις ἀστέρες καλῶς χρηματισθῶσιν, οἱ δὲ οἰκοδεσπόται τῶν ζῳδίων ἐν κακώσει ὑπάρχωσι μὴ χρηματίζοντες.

32. Περὶ δεσποτείας ἀλλήλων.

Δεσπόται δὲ ἀλλήλων λέγονται, ὅταν τοῦ μὲν ὕψωμα, τοῦ δὲ οἶκος ᾖ, ἐν οἷς τυγχάνουσι ζῳδίοις οἱ ἀστέρες.

33. Περὶ οἰκοδεσπότου.

Οἰκοδεσπότης δὲ λέγεται, ὅταν πλείονας ἔχῃ λόγους οἰκοδεσποτείας ἔν τινι τῶν ζῳδίων· λέγω δὲ οἴκου ὑψώματος τριγώνου ὁρίου φάσεως ἢ συσχηματισμοῦ.

34. Περὶ κολλήσεως.

Κόλλησίς ἐστιν ἤτοι συναφὴ κυριωτάτη, ὅταν ἄστρον ἄστρῳ προσέρχηται τὸ τάχιον τῷ βραδίονι, εἰ μὴ πλέον ἀπέχει μοιρῶν τριῶν.

35. Περὶ συναφῆς.

Συναφὴ δέ ἐστιν ἡ κόλλησις Σελήνης, ὅταν νυχθημέρου δρόμον ἀπέχῃ κατὰ τὴν συνοδικὴν μοῖραν.

36. Περὶ μεσεμβολήσεως.

Μεσεμβόλησις δέ ἐστιν, ὅταν ἀστὴρ εἰς τὰς μέσας μοίρας τῆς συναφῆς τὰς ἀκτῖνας βάλλῃ.

37. Περὶ παραλλαγῆς.

Παραλλαγὴ δέ ἐστιν, ὅταν τις τῶν ἀστέρων παραλλάξῃ ἤτοι σωματικῶς ἢ κατὰ σχῆμα τὴν τοῦ ἑτέρου ἀστέρος μοῖραν.

38. Περὶ συνδέσμου.

Ὑπὸ σύνδεσμον δὲ λέγεται φέρεσθαι τὴν Σελήνην, ὅταν ἀπὸ ιε′ μοιρῶν τοῦ Ἡλίου γένηται· λύειν δὲ αὐτόν, ὅταν παραλλάξασα αὐτὸν ἀπέχῃ τὰς αὐτὰς μοίρας τοῦ Ἡλίου· τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῆς πανσελήνου λέγεται. οὖσα γὰρ πρὸ ιε′ μοιρῶν τῆς πανσελήνου ἔρχεται ἐπὶ τὸν σύνδεσμον· ἀποστᾶσα δὲ εἰς τὸ ὀπίσω λύει αὐτόν.

2 Fere eadem praebet Porph., l. l. **3** ἔχουσιν L. **5** ἐν δὲ L. ὑπάρχουσι L. **6** In codd. a, m, q, p, f capitula 32-44 coniuncta sunt sub communi titulo : Ἐξήγησις τῶν ἐν τοῖς ἀποτελέσμασιν ὀνομάτων (περὶ τῶν κτλ. m). **9** Cf. Hephaest., I, 13. **13-16** Cf. Porph., p. 187. Heph., I, 14. **15** τὸ βραδεῖον L. μοίρας τρεῖς L. **19** Cf. Porph., p. 188. **20** ἀστὴρ L¹ et Porph., ὁ ἥλιος L² et q manifesto errore. **22** Cf. Porph., p. 187. **24** ἀστέρος L²] ἄστρου L¹. **26** Ὑπὸ om. q. δὲ om. L. ιε′ μοίρας q. **28** τοῦ ἡλίου om. L¹. **29** οὖσα] οὕτως q.

39. Περὶ κενοδρομίας.

Κενοδρομία δέ ἐστι Σελήνης, ὅταν μηδενὶ συνάπτῃ μήτε σωματικῶς μήτε κατὰ σχῆμα.

40. Περὶ ὁμοροήσεως.

Ὁμορόησις δέ ἐστιν, ὅταν ἐν τοῖς αὐτοῖς ὁρίοις ἀστέρες ὦσιν ἤτοι κατὰ σῶμα ἢ σχῆμα ἢ ἀλλήλους ἐφορῶσιν ὁρίοις ἀστέρος τοῦ αὐτοῦ.

41. Περὶ ἐμπερισχέσεως.

Ἐμπερίσχεσις δέ ἐστιν, ὅταν δύο πλάνητες ἕνα μέσον ἔχωσι καθ' οἷον δήποτε σχῆμα, μηδενὸς ἑτέρου ἐν τοῖς μέσοις ἀκτῖνα βάλλοντος ἐντὸς ἑπτὰ μοιρῶν ἐπὶ τὰ πρόσω ἢ ὀπίσω.

42. Περὶ τῶν ἐν δυνάμει ἀστέρων.

Ἐν δυνάμει δὲ εἷς ἕκαστος λέγεται εἶναι τῶν πλανητῶν, ὅταν ἐν οἴκῳ ἰδίῳ ἢ ὑψώματι ἢ ὁρίοις ἢ οἰκείᾳ φάσει ἢ συσχηματισμῷ τύχῃ ἢ εὐτονωτέρῳ τινὶ τόπῳ τῆς δωδεκατοπίας.

43. Περὶ λαμπηνῶν.

Ἐν λαμπήναις δὲ ἰδίαις εἰσὶν οἱ πλάνητες, ἐπειδὰν ἐν οἴκῳ ἰδίῳ ἢ ὑψώματι ἢ ὁρίοις εὑρεθῶσι· χαίρουσι δὲ τοῖς τόποις τούτοις κἂν ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου εὑρίσκωνται· ἐπαύξουσι γὰρ οἱ μὲν ἀγαθαποιοὶ τὰ ἀγαθά, οἱ δὲ κακοποιοὶ μεταβάλλονται εἰς ἀγαθοποιίαν.

44. Περὶ τοῦ πῶς χαίρουσιν οἱ ἀστέρες.

Χαίρειν δὲ λέγονται οἱ ἀστέρες Κρόνος μὲν καὶ Ζεὺς καὶ Ἄρης ἑῷοι ὄντες καὶ συσχηματιζόμενοι, Σελήνη δὲ καὶ Ἀφροδίτη ἑσπέριοι. ἔτι Κρόνος μὲν καὶ Ζεὺς καὶ Ἄρης χαίρουσι σχηματιζόμενοι ἐν τοῖς τεταρτημορίοις τοῖς ἀπὸ τοῦ ὡροσκόπου μέχρι τοῦ μεσουρανήματος καὶ ἀπὸ τοῦ δύνοντος μέχρι τοῦ ὑπὸ γῆν· ἡ δὲ Σελήνη καὶ Ἀφροδίτη ἐν τοῖς ἐναλλὰξ τεταρτημορίοις· ὁ δὲ Ἑρμῆς ἀμφοτέραις ταῖς αἱρέσεσι διὰ τὸ ἐπίκοινον εἶναι αὐτόν. καὶ οἱ μὲν ἡμερινοὶ δι' ἡμέρας ὑπέργειοι χαίρουσιν, οἱ δὲ νυκτερινοὶ ὑπόγειοι· καὶ πάλιν οἱ νυκτερινοὶ διὰ νυκτὸς ὑπέργειοι χαίρουσιν, οἱ δὲ ἡμερινοὶ ὑπόγειοι.

1 Cf. Porph., p. 189. 2 συνάπτῃ q] οὖν ἀπάτῃ L. μηδὲ codd. 3 ὁμορροήσεως L. — Cf. Porph., ib. 5 αὐτοῖς q] ἰδίοις L. 7 Cf. Porph., p. 187; Heph., I, 15. 8 ἕνα L] ἥλιον q, at cf. Porph. ἔχουσιν L. 9 τὴν ἀκτῖνα q. 10 ἢ] καὶ τὰ q. 12 ἐνδύναμος a q. ἕκαστος] τῶν ἀστέρων q. εἶναι om. q. ἐν om. L. 13 συσχηματισμῷ L[2] et q[2]] συσχηματισμῶν L[1]. 14 δωδεκατοπίας q] δωδεκατρόπου L. 15 Cf. Ptol., I, 23. Heph., I, 18. 16 Ἐν ἰδίαις δὲ λαμπήναις q. ἢ ὑψώματι om. L[1]. 18 ἀγαθοὶ q. 20 Cf. Doroth. ap. Heph., I, 7. Ptol. I, 23. χαίρουσι L. 22 ἑσπέριοι καὶ ἑπόμενοι ὅταν ὦσι q. ἔτι om. q. 23 συσχηματιζόμενοι q. 25 δυτικοῦ q. ὑπογείου q. 27 ἐπίκοινος q. αὐτῶν q. ὑπὲρ γῆς q.

45. Περὶ τῶν ὑπαύγων ἀστέρων.

Ὕπαυγοι δὲ λέγονται εἶναι ὅσοι ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τυγχάνουσιν ὄντες ἐπὶ πρόσω ἢ ὀπίσω. τοῦτο δὲ γνωστέον ἀπὸ τῆς τῶν φάσεων ψηφοφορίας.

46. Περὶ τῶν χρόνων τῶν κέντρων καὶ ἐπαναφορῶν καὶ ἀποκλιμάτων.

Est caput *Porphyrii*, p. 202 sq. : Περὶ χρόνων κτλ. Haec afferam ex variis cod. L lectionibus : p. 202, 34 αὐτῶν. 38 κατὰ γαστρὸς. 52 ἑκάστου. 54 δὲ] διὰ. p. 203, 2 τρίμοιρα μέριζε. 3 ἔχει μοίρας. 5 ἐφέξει.

47. Περὶ κλήρων σημασίας.

Σελήνης ὁ κλῆρος τῆς τύχης σημαίνει πάντα τὰ ἐπὶ τοῦ σώματος τῶν ἀνθρώπων καὶ τὰς κατὰ τὸν βίον πράξεις καὶ δόξας καὶ τὰ τῆς ψυχῆς πάθη καὶ τὰς συμβιώσεις. Ἡλίου ὁ κλῆρος τοῦ δαίμονος σημαίνει τὰ περὶ τῆς ψυχῆς καὶ τρόπου καὶ δυναστείας καὶ ἀξίας καὶ δόξης καὶ θρησκείας. ὡροσκόπου ὁ κλῆρος τῆς βάσεως ζωῆς καὶ πνεύματος παραίτιος καθέστηκεν· αὐτὴ γὰρ ἡ βάσις πνεύματός ἐστι δοτικὴ τοῦ ὡροσκόπου καὶ τὰ σωματικὰ καὶ τὰς ξενιτείας σημαίνει. Κρόνου ὁ κλῆρος τῆς νεμέσεως δαιμόνων χθονίων καὶ κεκρυμμένων πάντων καὶ ἀποδείξεως καὶ ἀνδρείας καὶ φυγῆς καὶ ἀπωλείας καὶ πένθους καὶ ποιότητος θανάτου καθέστηκεν. Διὸς ὁ κλῆρος νίκης πίστεως καὶ ἐλπίδος ἀγαθῆς καὶ ἀγῶνος καὶ κοινωνίας, ἔτι δὲ καὶ ἐπιβολῆς καὶ ἐπιτυχίας. Ἄρεως ὁ κλῆρος τῆς τόλμης θράσους καὶ ἐπιβουλῆς καὶ ἰσχύος καὶ κακουργίας πάσης ἐστὶ δηλωτικός. Ἀφροδίτης ὁ κλῆρος τοῦ ἔρωτος σημαίνει τὰς ὀρέξεις καὶ ἐπιθυμίας καὶ τὰς κατὰ προαίρεσιν γινομένας φιλίας καὶ χάριτός ἐστι δηλωτικός. Ἑρμοῦ ὁ κλῆρος τῆς ἀνάγκης σημαίνει συνοχὰς καὶ πολέμους καὶ μῖσος καὶ καταδίκας καὶ τὰ ἄλλα πάντα ἐν ἀνθρώποις ἀποτελούμενα βίαια πράγματα.

5 Περὶ τῶν χρήσεων τῶν κέντρων καὶ τῶν ἐπαναφορῶν καὶ τῶν ἀποκλιμάτων a p q : περὶ ἐπαναφορῶν καὶ ἀποκλιμάτων m : περὶ τῶν δηλουμένων χρόνων ὑπό τε τῶν κέντρων τῶν ἐπαναφορῶν καὶ τῶν ἀποκλιμάτων n : περὶ χρόνων καὶ κεντρ. κ. ἐ. κ. ἀ. edit. Porph. 11 Περὶ κλήρων σημασίας πῶς δεῖ γνῶναι τί σημαίνει ἕκαστος τῶν η' κλήρων a p q : περὶ κλήρων σημασίας m : περὶ κλήρων r (ubi hoc capitulum abbreviatum invenitur). Cf. Hermetis memoriam apud Paul.Al., I, 1ᵛ, a quo sua fere omnia surripuit Rhetorius. Paraphrasis quaedam capituli Pauliani infra edetur (f. 132ʳ). 12 Τῆς τύχης ὁ κλῆρος δηλαδὴ τῆς σελήνης σημαίνει q. 14 δαίμονος κλῆρος ἤτοι ἡλίου q. 16 ὁ om. L. 17 πραγμάτων ἐστὶ δότρια q. 18 κλῆρος ὁ τῆς νεμέσεως ἤτοι τοῦ κρόνου q. 19 καὶ κεκρυμμένων a q m] καὶ om. L. πάντων τῶν L. 19-20 ἀποδείξεων q. 20 πάθους q, falso, cf. Paul. 21 Κλῆρος τῆς νίκης ἤτοι Ζεὺς q. 22 δὲ] τε L. ἐπιβουλῆς q, falso, cf. Paul. ἐπιτυχίας αἴτιος q. 23 κλῆρος τόλμης ἤτοι ἄρης q. 24 ἐστὶ δηλ.] ἐπιδηλωτικός q. κλῆρος ἔρωτος ἤτοι ἀφροδίτης q. 25 προαίρεσιν : cf. Ptol., IV, 6, f. 50ʳ, 11 ; Paul. Al., 1, 2ᵛ, 25. 26 χάριτας L. δηλωτικὴ L ; om. q. κλῆρος ἀνάγκης ἤτοι ἑρμοῦ q. ἑρμῆ L. 27 πάντα τὰ q.

48. Τὰ αὐτῶν ἀποτελέσματα.

Ἥλιος ἐπιβλέπων τὸν κλῆρον τοῦ δαίμονος ἀτέκνους ποιεῖ. Ἥλιος λαχὼν τὸν κλῆρον τοῦ σίνους καρδιακὸν σίνος ποιεῖ. Ζεὺς θεωρῶν τὸν κλῆρον τοῦ δαίμονος ποιεῖ τὸν τοιοῦτον ὑπὸ θεῶν καὶ ἐνυπνίων χρηματισθῆναι καὶ πάντη τὰ θεῖα εὐμενῆ ἕξει, κἂν τετραγωνῇ κἂν διαμετρῇ. ὁ κύριος τοῦ κλήρου τῆς τύχης ὕπαυγος ὢν βιοθανάτους ποιεῖ κατὰ τὴν φύσιν τοῦ ζῳδίου τοῦ κλήρου τῆς τύχης· ἐὰν δὲ ὀλίγον φύγῃ τὰς αὐγὰς τοῦ Ἡλίου, οὐκέτι βιοθάνατοι γίνονται, ἀλλὰ πλανῆται καὶ πολλὰ δικαζόμενοι. εἰ δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσιν, οὐκέτι βιοθάνατος, ἀλλὰ μέσην τὴν τύχην ἕξει. ὁ κύριος τῆς τύχης καὶ τοῦ δαίμονος ὕπαυγος ὢν βιοθανάτους ποιεῖ κατὰ τὴν φύσιν οὐκ ἀγαθὸς μέν, οὔτε δὲ πάνυ φαῦλος, ἀεὶ δὲ καλὸς ὡς ἐπίκεντρος. ἐὰν ὁ κλῆρος τῶν τέκνων καταντήσῃ εἰς οἶκον Κρόνου καὶ κακοποιὸς ἐπιβλέπῃ τὸν κλῆρον, τοὺς πρωτοτόκους ἀναιρεῖ· ἐὰν δὲ ὁ κλῆρος τῶν τέκνων ἐμπέσῃ εἰς οἴκους Ἄρεως καὶ κακοποιὸς ἐπιβλέπῃ τὸν κλῆρον, τοὺς μέσους γεννηθέντας ἀναιρεῖ· ἐὰν <δὲ> ὁ κλῆρος τῶν τέκνων ἐμπέσῃ εἰς οἴκους Ἑρμοῦ καὶ κακοποιὸς ἐπιθεωρήσῃ, τοὺς μικροτέρους γεννηθέντας ἀναιρεῖ. ἐὰν ὁ κλῆρος τοῦ δαίμονος ἐμπέσῃ ἐν Αἰγοκέρωτι, τὸν γεννηθέντα ποιεῖ ἀνεξίκακον καὶ εὐμετάβλητον· εἰ δὲ Κριῷ ἢ Λέοντι ἢ Σκορπίῳ, ὀξύχολον μονότονον. Ἥλιος ἐπιβλέπων τὸν κλῆρον τῆς τύχης καὶ τὸν οἰκοδεσπότην ἔχων ὑπὸ τὰς αὐγὰς ἐκπτώτους ποιεῖ. ἐὰν ὁ οἰκοδεσπότης τοῦ κλήρου τοῦ πατρὸς εὑρεθῇ ἐναντιούμενος τῷ ἰδίῳ οἴκῳ, ἔνθα ὁ κλῆρος τοῦ πατρὸς ἔτυχεν, ὑποβολιμαῖον λέγει τὸν τοιοῦτον. ὁ οἰκοδεσπότης τοῦ κλήρου τῆς τύχης κακοδαίμων ὢν καὶ ἐπιβλέπων τὸν κλῆρον, κακὸν τὸ σχῆμα λέγει, μάλιστα δὲ ἐὰν ᾖ καὶ ὕπαυγος ἢ καὶ ὑπὸ κακοποιῶν θεωρῆται. ἐὰν ἐπὶ τοῦ κλήρου τοῦ γάμου τύχῃ Σελήνη <καὶ> κατὰ διάμετρον ἢ τετράγωνον ... ἐπιθεωρῇ τὸν κλῆρον τοῦ γάμου, συγγενικὸν τὸν γάμον δίδωσιν ἢ καὶ ἐξ ἀδελφῶν. ἐὰν ὁ οἰκοδεσπότης τοῦ κλήρου τοῦ γάμου δύνων εὑρεθῇ, λέγει λάθρα τοὺς γάμους συμβαίνειν. ἐὰν ὁ Κρόνος εὑρεθῇ οἰκοδεσπότης τοῦ κλήρου τοῦ γάμου καὶ ἐν τῷ δυτικῷ τόπῳ τύχῃ ὁ Κρόνος, ὑπὸ γηραιοῦ φθαρήσεται ἡ τοιαύτη· ἐὰν δὲ καὶ τὸ δῦνον εὑρεθῇ οἶκος Κρόνου, τοῦ πατρικοῦ ἢ τοῦ μητρικοῦ ἐστι γένους ὁ τοῦτο πεποιηκὼς ἢ καὶ θεῖος, καὶ οὐ ξένος ἔσται ὁ τοιοῦτος. ἐὰν ὁ δεσπότης τοῦ κλήρου τοῦ γάμου δύνῃ, ἀσημότερός ἐστιν ὁ ἀνὴρ καὶ

Cod. r praebet breviorem formam capituli 47. 5 παντὶ L. 5-6 κἂν τετράγωνος κἂν διάμετρος ὁ κύριος. τοῦ κλήρου L (corr. Kroll et Cumont). 7 ἐὰν] εἰ L. 9 πολλὰ δικαζόμενοι : vestigium dactylicum [Kroll]. 12 κλῆρος τῶν τέκνων : cf. Schol. in Paul. Alex. J, 3ᵛ. Ἰστέον δὲ ὅτι καὶ ἄλλοι κλῆροι ὑπάρχουσιν, ἔξωθεν τῆς Παναρέτου, πατρὸς καὶ μητρὸς καὶ ἀδελφῶν καὶ τέκνων καὶ γάμων καὶ ἄλλων πολλῶν. 13 ἐπιβλέπει L. 16 ἑρμῆ L. 18 ἐνπέσῃ L. 20 μονότονον scripsi; μονότομον L. 21 ἐκπτότους L. 24 κακοδαιμόνων L. 27 nomen cuiusdam planetae (Ἀφροδίτης?) aut solis (Kroll) omissum est. 29 σημαίνειν L, corr. Kroll. 34 δύνων L.

λάθρα τοῦτο πεποιηκώς· σκόπει δὲ καὶ τὰς φάσεις τῶν ἀστέρων μὴ ὑψοῦνται ἢ ταπεινοῦνται καὶ οὕτως λέγε τοὺς φθείροντας, εἰ ὑψηλοὶ ἢ ταπεινοί εἰσι τῇ τύχῃ. ἐὰν Ζεὺς εὑρεθῇ κύριος τοῦ κλήρου τοῦ γάμου καὶ δύνῃ, ἀπὸ γένους ἔσται ὁ τοῦτο πεποιηκὼς καὶ πλούσιοι ἔσονται ἢ ὀνομαστοί. ἐὰν Ἀφροδίτη εὑρεθῇ οἰκοδεσπότης τοῦ κλήρου τοῦ γάμου καὶ εὑρεθῇ ἐν δυτικῷ κέντρῳ, ἐξ ἀπάτης καὶ γέλωτος τοῦτο γεγενῆσθαι σημαίνει· ἐὰν δὲ καὶ Ἄρης ἐπιθεωρήσῃ, χάριν τοῦ ἐπιχειρήματος εἰς κρίσιν ἦλθεν ὁ τοῦτο πεποιηκώς. ἐὰν ὁ κλῆρος τοῦ γάμου τύχῃ, ἔνθα <Ἀφροδίτη> ἐστὶ τοῦ Ἑρμοῦ ὡροσκοποῦντος <ἢ> ἐπικέντρου ὄντος ἐν ἀρσενικῷ ζῳδίῳ, παιδεραστὰς ἀποτελεῖ· εἰ δὲ καὶ ἐπιθεωρήσει τὸν κλῆρον τοῦ γάμου Ἑρμῆς, τὸ αὐτὸ ποιεῖ, καὶ εἰ μὲν ἐν ἀρσενικῷ ζῳδίῳ τύχοι ὁ Ἑρμῆς θεωρῶν τὸν κλῆρον, πρὸς ἀρσενικὰς ποιήσει τὰς μίξεις. ἐὰν δὲ καὶ ἐν θηλυκῷ ζῳδίῳ εὑρεθῇ ὁ Ἑρμῆς ἐπιβλέπων τὸν κλῆρον τοῦ γάμου, παρὰ φύσιν τὰς μίξεις πρὸς γυναῖκας ἕξει. ἐὰν τὸν οἰκοδεσπότην τοῦ κλήρου τῶν ἀδελφῶν εὕρῃς ἐν τῷ ὡροσκόπῳ, μονογενῆ τὸν τοιοῦτον λέγε εἶναι. ἐὰν ὁ κύριος τοῦ κλήρου τῶν ἀδελφῶν ἐμπέσῃ εἰς δίσωμον ζῴδιον, λέγε τὸν τοιοῦτον καὶ ἀπὸ ἄλλου ἀνδρὸς ἢ ἀπὸ ἄλλης μητρὸς ἄλλους ἀδελφοὺς ἔχειν· ὡς δὲ ἐγὼ δοκῶ οἷον ἐὰν ὁ κλῆρος καὶ ὁ κύριος αὐτοῦ ἐμπέσωσιν ἐν θηλυκῷ ζῳδίῳ, ἀπὸ ἄλλης μητρὸς λέγε τὸν ἀδελφόν· εἰ δὲ ἐν ἀρσενικῷ ζῳδίῳ, ἀπὸ ἄλλου πατρός. ἐὰν ὁ κλῆρος τῆς τύχης ἐμπέσῃ ἐν ἀρσενικῷ ζῳδίῳ, τὸν πατέρα προαναιρεῖ, ἐν δὲ θηλυκῷ ζῳδίῳ τὴν μητέρα, καθὼς Δωρόθεος. ἐὰν ἐπὶ τὸν κλῆρον τοῦ πατρὸς πρῶτος ὁ Κρόνος τὴν ἀκτῖνα βάλλῃ ἢ κατὰ σχῆμα ἢ κατὰ παρέμβασιν πρῶτον θεωρήσῃ τὸν κλῆρον τοῦ πατρὸς, προαναιρεῖ τὸν πατέρα· εἰ δὲ ὁμοίως τὸν κλῆρον τῆς μητρὸς θεωρήσει, τὴν μητέρα προαναιρεῖ· ἐὰν τὸν κλῆρον τοῦ πατρὸς ἢ τῆς μητρὸς κακοποιὸς θεωρήσῃ, ἐκεῖνον προαναιρεῖσθαι λέγει.

<49>. Περὶ τῶν τελείων καὶ ἐλαχίστων ἐτῶν.

Ἡλίου <τέλεια> ἔτη ρκ′, τὸ δωδέκατον ἔτη ι′· Σελήνης ρη′, τὸ δωδέκατον θ′· Κρόνου νζ′, τὸ δωδέκατον δ′ Cδ′. Διὸς οθ′, τὸ δωδέκατον ς′ Cιβ′. Ἄρεως ἔτη ξς′, τὸ δωδέκατον εC′· Ἀφροδίτης πβ′, τὸ δωδέκατον ς′ Cγ′. Ἑρμοῦ ος′, τὸ δωδέκατον ς′γ′. Ἡλίου <ἐλάχιστα> ἔτη ιθ′, τὸ δωδέκατον μῆνες ιθ′. Σελήνης ἔτη κε′, τὸ δωδέκατον β′ ιβ′. Κρόνου ἔτη λ′, τὸ

4 γέγους L. 8 ἔλθη L. 9 ἀφροδίτη scripsi] μὴ L. ὄντος scripsi] οὗτος L. 12 τύχη L. πρὸς ἀρσενικὰς = " viragines; at praestat opinor πρὸς delere aut in πως mutare „ Kroll. Equidem nihil mutandum esse censeo: cf. Ptol. IV, 5, f. 48^v,32 ὑπάνδροις eodem sensu atque ἀρσενικαῖς usurpatum. 13 ἐὰν] εἰ L. 16 λέγει L. 27 λέγει sc. Dorotheus. 29 Cf. Firmic., II, 25. Paul., B, 4^v. In margine L praebet medios annos: (man. 2:) κρόνου μέσα ἔτη μγ′C; (man. 1:) μέση πδ (εο superscr.) διός (sic pro πε′C); (man. 1:) ἔτη μέσα (man. 2:) ἥλιου μλθ′C (sic pro ξθ′C); (man. 1:) ἄρεως ἔτη μ′C; (man. 1:) Ἀφροδίτης ἔτη με′ (man. 2:) ἑρμοῦ ἔτη μη′; (man. 2:) σελήνης μέσα ἔτη λθ′C (sic pro ξς′C). 29 Ἥλιος L. ἔτει L. 32 ἑρμῆ L. 33 μῆνες ιβ′ Cιβ′ L.

δωδέκατον β′C. Διὸς ἔτη ιβ′, τὸ δωδέκατον α′· Ἄρεως ἔτη ιε′, τὸ δωδέκατον α′ δ′· Ἀφροδίτης ἔτη η′, τὸ δωδέκατον μῆνες ὀκτώ· Ἑρμοῦ ἔτη κ′, τὸ δωδέκατον α′ Cς′.

<50>. Πῶς ἄν τις μάθοι τὰς προθέσεις τῶν ζῳδίων καὶ τὰς ὥρας τῶν κλιμάτων.

Οἷον ἐν τῷ τρίτῳ κλίματι ἐπειδὴ ὁ μέγιστος αὐτοῦ χρόνος τοῦτ᾽ ἔστιν ἀπὸ Καρκίνου ἕως Τοξότου γίνονται ἔτη σι′ καὶ ὁ ἐλάχιστος αὐτοῦ χρόνος ἐστὶν ἀπὸ Αἰγοκέρωτος ἕως Διδύμων ἔτη ρν′· ταῦτα οὖν ἐὰν μερίσω παρὰ τὸν ιε′, οἵ εἰσιν ὡριαῖοι χρόνοι ἰσημερινοί, ἐστὶν ἡ μεγίστη ἡμέρα ὡρῶν ιδ′ ἰσημερινῶν, ἡ δὲ ἐλαχίστη ἰσημερινῶν ι′. ληψόμεθα οὖν ἑκάστου χρόνου τοῦ μεγίστου καὶ ἐλαχίστου τὸ ἕκτον· γίνεται οὖν τοῦ μεγίστου χρόνου τῶν σι′ τὸ ἕκτον λε′, τοῦ δὲ ἐλαχίστου κε′· καταλείπονται οὖν λοιπὰ ι′· τούτων τὸ τρίτον γίνεται γ′ γ′ ὅ ἐστιν αὐξομείωσις ἑκάστου ζῳδίου. τῷ αὐτῷ τρόπῳ καὶ ἐπὶ τῶν ἄλλων κλιμάτων γνώσει.

<51>. Περὶ τῶν μεγίστων ἐτῶν καὶ τελείων ἀποκαταστάσεων τῶν ἑπτὰ ἀστέρων.

Κρόνος ποιεῖ τὴν μεγίστην ἀποκατάστασιν δι᾽ ἐτῶν σξε′. Ζεὺς δὲ δι᾽ ἐτῶν υκζ′· Ἄρης δὲ δι᾽ ἐτῶν σπδ′· Ἥλιος δὲ δι᾽ ἐτῶν ͵αυξα′· Ἀφροδίτη δὲ δι᾽ ἐτῶν ͵αρνα′· Ἑρμῆς δὲ δι′ ἐτῶν υπ′· Σελήνη δὲ δι᾽ ἐτῶν κε′. ἡ δὲ κοσμικὴ ἀποκατάστασις γίνεται δι᾽ ἐτῶν μυριάδων ροε′ ͵γε′ καὶ τότε γίνεται σύνοδος πάντων τῶν ἀστέρων κατὰ λ′ μοῖραν τοῦ Καρκίνου ἢ τὴν α′ μοῖραν τοῦ Λέοντος <καὶ> γίνεται ἐκπλήρωσις· ἐπὶ δὲ τοῦ Καρκίνου γίνεται κατακλυσμός, ἐν μέρει δὲ τοῦ κόσμου.

<52>. Περὶ τῶν ἀσυνδέτων ἀστέρων πρὸς τὰ φῶτα.

Ἡ δὲ Σελήνη ἀσύνδετος τυχοῦσα Ἡλίου χωρισμὸν ἢ ἀστασίαν ἢ ἀλλοφυλίαν γονέων ἀποτελεῖ· Σελήνη Κρόνου ἀσύνδετος τυχοῦσα ἀπὸ μέρους μὲν ἀγαθῶν γενέσεων, εὗρον δὲ ἀντιπτωμάτων καὶ κακώσεων

2 ἑρμῆς L. α′ Cς′] μία β′ L. 6 τρίτῳ κλίματι: est clima Alexandriae, cf. Ptolem. tab. exp., ed. Halma, II, 18 sqq. 7 αὐτοῦ scripsi αὐτῶν L. 9 ιε′ scripsi pro ιβ′ L. 19 ἡ δὲ κοσμικὴ-τοῦ κόσμου sic habentur in cod. r (post cap. 47) : γίνεται δὲ ὁ κλῆρος καὶ ἡ σύναδος πάντων τῶν ἀστέρων δι᾽ ἐτῶν οζ′ κατὰ λ′ μοῖραν τοῦ καρκίνου ἢ τὴν α′ μοῖραν τοῦ λέοντος γίνεται ἡ ἐκπλήρωσις· ἐν δὲ ἐκείνῳ τῷ ἔτει γίνεται κατακλεισμὸς (sic) ἐν μέρει τοῦ κόσμου. γίνεται ἔκλειψις ἡλιακὴ σεληνιακή· ἀστικαὶ κινήσεις· μυκηθμοὶ· σεισμοὶ ἀλλεπάλληλοι· καὶ ἀνωμαλία στοιχείων. — Eadem tradunt Lydus *de Mens.* III. 16 ed. Wünsch; Mich. Psellus Παντοδαπὴ ἱστορία cap. 125 (ed. Fabricius, *Biblioth. gr.*, 1712, t. 5); Nicetas Acominatus *Thes. orth.*, I, 9. Qua de re plura dixi in *Byzant. Zeitschrift*, 1898, p. 599 sq. Cf. etiam Berosus apud Senecam, *Quaest. nat.* III, 29, 1. — Pro ἐκπλήρωσις Kroll mavult ἐκπύρωσις quod praebent Lydus Psellus alii; sed cf. κόρος Heracliti. 8 Lydus Psellus Nicetas tradunt μυριάδες ροε′ καὶ ͵γσ′ ἔτη. 27 ἀγαθὴ L.

<αἰτία>· Σελήνη ἀσύνδετος Διὸς τυχοῦσα ἀνεπιτεύκτους ταπεινοὺς ἥττονας τοῖς βίοις ποιεῖ· Σελήνη ἀσύνδετος Ἄρεως τυχοῦσα ποιεῖ μετρίους ἀτόλμους ἀδρανεῖς καὶ πρὸς γονεῖς ἀποστρόφους· Σελήνη ἀσύνδετος Ἀφροδίτης τυχοῦσα ποιεῖ ἀχαρεῖς καὶ δυσεπιτεύκτους πρός τε τὸν γάμον καὶ τὰ ἀφροδίσια· Σελήνη ἀσύνδετος Ἑρμοῦ ποιεῖ ἀπρακτοτέρους καὶ μᾶλλον ἀνοήτους· ταῦτα δὲ πάντα τὰ σχήματά φημι τῶν ὁμοζωνούντων καὶ ἰσαναφόρων καὶ τῶν ἰσοδυναμούντων ζῳδίων.

<53>. Ἀποτελέσματα τῶν δορυφοριῶν τοῦ Ἡλίου.

Κρόνος ἐπὶ δορυφορίᾳ τυχὼν τὸ ἐπιεικὲς καὶ τυφῶδες καὶ τὸ ἐκ πατρόθεν εὐδαιμονικὸν καὶ πολύκτητον ποιεῖ. Ζεὺς τὸ δίκαιον καὶ προσηνὲς καὶ ἀλαζονικὸν καὶ τὸ λαμπρὸν καὶ τὸ ἡγεμονικὸν καὶ πολυχρήματον καὶ τὸ ἐπιτευκτικὸν ποιεῖ. Ἄρης τὸ ἔπανδρον καὶ θερμὸν καὶ θρασὺ καὶ παράβουλον καὶ βίαιον καὶ φοβερὸν καὶ τὸ ἔκπτωτον ἐν τοῖς διαπρασσομένοις ποιεῖ. Ἀφροδίτη τὸ εὐκλεὲς καὶ ἐπαφρόδιτον καὶ εὐεπίβολον καὶ ἡδὺ καὶ ἀναιδὲς καὶ εὔγαμον καὶ ἐπιτευκτικὸν ποιεῖ. Ἑρμῆς τὸ εὐφυὲς καὶ λογικὸν καὶ ἐπίβολον ποιεῖ. γνωστέον δὲ ὅτι ἐὰν ἀποκλίνωσιν οἱ δορυφοροῦντες τῶν φώτων ἐπικέντρων τετυχηκότων, οὐδὲν ἧττον τῆς βασιλείας ἢ τῆς τυραννίδος προσάγουσι † τοὺς οὕτω γεννωμένους· τῶν δὲ φώτων δορυφορουμένων μέν, ἀποκεκλικότων δὲ οὔτε βασιλεῖς οὔτε τύραννοι γενήσονται, ἀλλὰ φίλοι τῶν τοιούτων προσώπων ἔσονται. τὸ δὲ αὐτὸ νόει καὶ ἐπὶ τῶν παρ' αἵρεσιν δορυφορούντων.

[F. B.]

2 ποιοῦσιν L. 3 προσγονεῖς L. 5 ἑρμῆ L. 8 Cap. 53 mutilum habetur in cod. r (inscribitur : περὶ δωρὶφοριῶν (*sic*) τοῦ ἡλίου ἀποτελέσματα) : cuius lectiones fere omnes neglexi. 10 post πολύκτητον praebet r : πλὴν ἐπὶ κινδύνους. 11 πολυχρήματον r] πολλῶν χρημάτων L. 17 τετυχηκότες r. 18 τοὺς οὕτω γεννωμένους] dativum requiri monet Kroll. τοὺς οὕτω r] τοσούτω L. γενομένους L. 19 Haec manu 1 in margine cod. L scripta sunt : Ση ὥ ἡμέρας εἰ μὲν τὰ φῶτα ἐπίκεντρα ᾖ οἱ δὲ ἀστέρες ἀπόκεντροι, οὐκ ἐπεμποδίζονται τῆς δόξης· εἰ δὲ τὰ φῶτα ἀπόκεντρα ἐμποδίζονται.

F. 93v. Περὶ τῆς ἐκ τῶν οἰκείων ἐνεργειῶν καὶ μορφώσεων ἐφηρμοσμένης τοῖς τοῦ ζῳδιακοῦ τμήμασι διαφόρου προσηγορίας.

Τὴν δ' ἐκ τῶν μορφώσεων τῶν ζῳδίων παρὰ τοῖς προγενεστέροις πεποικιλμένην ὀνομασίαν χρησίμην ἡγούμενοι πεφυκέναι τοῖς ἐνταῦθα εἰσαγομένοις καὶ ταύτην ἐν ἐκδόσει θέσθαι ἐκρίναμεν, ὅπως ἐξ ἁπάντων δύναιτ' ἄν τις τὸν φυσικὸν στοχασμὸν προσφόρως ἐπιλογίζεσθαι· εἰσὶν δὲ τούτων συνέλοντι φάναι διαφοραὶ λβ'. τοῦτ' ἔστιν ἃ μὲν ἡγεμονικά, ἃ δὲ παρηγεμονικά, ἃ δὲ ὑποτακτικά, ἃ δὲ χερσαῖα, ἃ δὲ ἔνυδρα, ἃ

Signa astrologica quum in editione servavimus, nominativum esse casum intellege. 2 τμήματος cod., corr. Boll. 5 ὀνομασίαν cod. 6 ἐκδώσει cod.

δὲ ἀμφίβια, ἃ δὲ πολύσπερμα, ἃ δὲ πολύγονα, ἃ δὲ ὀλιγόγονα, ἃ δὲ ἄγονα, ἃ δὲ λάγνα, ἃ δὲ καθάρια, ἃ δὲ αἰνιγματώδη, ἃ δὲ τερατώδη, ἃ δὲ κυρτοειδῆ, ἃ δε μελεοκοπούμενα, ἃ δὲ τετράποδα, ἃ δὲ διφυῆ, ἃ δὲ περισσομελῆ, ἃ δε κοινωνικά, ἃ δε δίχρωμα, ἔνιά τε ἐπιληπτικά, ἃ δὲ μαλακοποιά, ἃ δὲ ἀσθενόφθαλμα, ἃ δὲ σπαστικά, ἃ δὲ λατρώδη, ἃ δὲ θηριώδη, ἃ δὲ ἀνθρωποειδῆ, ἃ δὲ πτερωτά, ἃ δὲ φωνήεντα, ἃ δὲ ἡμίφωνα, <ἃ δὲ ἄφωνα>.

Τούτων δὲ οὕτως ἐχόντων, ἡγεμονικὰ μέν ἐστιν ♈ ♌ ♐· εἴρηται δὲ ἡγεμονικὰ, ἐπεὶ Ἡλίου καὶ Διὸς ταῦτα λέγεται εἶναι, φανερὸν δὲ ὅτι οὗτοι τῶν λοιπῶν ἀστέρων ἡγοῦνται. παρηγεμονικὰ δὲ ♊ ♎ ♒. παρηγεμονικά δὲ λέγεται ταῦτα, ἐπεὶ Κρόνου καὶ Ἑρμοῦ τυγχάνει, οὗτοι δὲ Ἡλίου καὶ Διὸς ἥττονες τῇ δυνάμει ὑπάρχουσι· ὑποτακτικὰ δὲ τὰ θηλυκά ♉ ♋ ♍ ♏ ♑ ♓, ἐπεὶ οἱ ἔχοντες ἐν αὐτοῖς τοὺς φωστῆρας ἐπὶ τῆς γενέσεως μὴ ὄντας κεκεντρωμένους ἢ δορυφορουμένους ὑπὸ τῶν ἀγαθοποιῶν, ὑποτεταγμένοι δεσπόταις καὶ δυστυχεῖς καὶ πένητες ἔσονται· χερσαῖα δὲ ♈ ♉ ♊ ♌ ♍ ♎ ♏. ἐπὶ γὰρ τῶν καθολικῶν συμπτωμάτων αἱ τοῦ Ἡλίου καὶ τῆς Σελήνης ἐκλείψεις ἐν τούτοις ἀποτελούμεναι, ἔτι δὲ καὶ αἱ φάσεις τῶν πλανήτων καὶ οἱ στηριγμοὶ περὶ τὰ χερσαῖα ζῷα σημαίνουσιν τῶν μελλόντων ἀγαθῶν ἢ φαύλων συμβήσεσθαι τὰς ποιότητας· (f. 94^r) ὁμοίως καὶ τὰ ἔνυδρα περὶ θαλάσσας καὶ ποταμοὺς καὶ λίμνας καὶ τοὺς ἐν αὐτοῖς γιγνομένους ἰχθύας.

Ἵνα δὲ μὴ καθ' ἕκαστον εἶδος λέγοντες τὰ τοιαῦτα μακρηγορήσωμεν, ὑποκείσθω δὴ δι' ὑποδείγματος σαφηνίσαι ἡμᾶς τὸ λεγόμενον· οἷον ὅταν σκεπτώμεθα τὸν περὶ ἀξίας λόγον, τύχῃ δὲ Κριῷ ἢ Λέοντι ἢ Τοξότῃ ὡροσκοπούντων αὐτῶν ἢ μεσουρανούντων ὑπὸ τῶν τῆς αἱρέσεως δορυφορουμένων ἀστέρων, βασιλικὰς καὶ ἡγεμονικὰς ἀξίας ἀποτελοῦσιν, τοῦ παρηγεμονικοῦ τριγώνου οὕτως τοὺς ἀστέρας ἔχοντος τὸ τῆς ἀξίας εἶδος ἐπὶ τὸ ἔλαττον τρέποντος, τοῦ δὲ ὑποτακτικοῦ ἔτι μᾶλλον. εἰς δὲ τὸν περὶ γάμου τόπον παρατηρητέα τὰ λάγνα καὶ καθάρια, εἰς δὲ τὸν περὶ τέκνων τὰ πολύγονα, εἰς δὲ τὸν περὶ σίνους τὰ κυρτοειδῆ καὶ λεπρώδη καὶ αἰνιγματώδη· πρὸς γὰρ τοὺς σχηματιζομένους ἀστέρας ἀνίασιν ἢ ἐπιτείνουσιν τὰ δηλούμενα, καὶ τῶν ἄλλων δηλαδὴ κατὰ τὸ ἀνάλογον τῆς ὀνοματοποιΐας ἐφαρμοζομένων τῷ τε καθολικῷ εἴδει καὶ τῷ γενεθλιακῷ καὶ ἔτι τῷ περὶ καταρχῶν. ἔνυδρα δὲ ἐκλήθησαν ὅσα ἐν ὕδασιν ἢ παρ' ὕδασιν ἢ μέρος τι ὕδατος ἔχουσιν ♓ ♋ ♑ ♒ ♐· ἐν ὕδασιν μὲν ♓ ♋, ὑπο μέρους δὲ ♑ καὶ ♒· ♑ μὲν διὰ τὸ οὐραῖον· ♒

1 πολύγωνα ... ὀλιγόγωνα 2 ἄγωνα cod. 4 κοινονικά cod. ἐνιότε cod. λατρώδη vocabulum novum cf. p. 166, l. 24. 6 φωνίεντα cod. 11 τυγχάνειν cod. 16 in mrg. verba χερσαία (*sic*) ... (σκορπίος) repetuntur. m. prima. 19 In mrg. m. prima ἔνυδρα ἰχθύες, καρκίνος· ἐπὶ μέρους δὲ αἰγόκερως, ὑδροχόος καὶ τοξότης· ὁ τοξότης ἔσχατος (omnia signis notata). 23 σκεπτόμεθα cod. 24 λόγον] τόπον coni Kroll. 26 in mrg. δίδυμοι, ζυγός, ὑδροχόος (signis not.). 29 παρατηρηταῖα cod. 30 πολύγωνα cod. 34 τῷ] τὸ cod.

διὰ τὸ ὑπ᾽ αὐτῶν ἐκχεῖσθαι τὸν Ἠριδανὸν ποταμόν, ♐ δὲ διὰ τὴν Ἀργῶ τὸ πλοῖον καὶ τὸ ὑποκείμενον πέλαγος. ἀμφίβια δὲ ♋ καὶ ♑. πολύσμερμα δὲ ὅσα πολλὴν ἔχει τὴν τοῦ σπέρματος ἀπόκρισιν οἷον ♈ ♉ ♓· πολύγονα δὲ ὅσα πολλὰ γεννᾷ ♋ ♏ ♓. ὀλιγόγονα δὲ ὁ Τοξότης **. ἄγονα δὲ καὶ στεῖρα ταῦτα· ♍ ♑ ♒· λέγεται δὲ καὶ ὁ ♌ διὰ τὸ μονοτεκεῖν. λάγνα δὲ καὶ ἀσελγῆ καὶ ἀδιάφορα περὶ τὰς μίξεις ♈ ♉ ♌ ♏ ♑ ♓. καθάρια δὲ ♊ ♍ ♎ ♒. αἰνιγματώδη δὲ ♐ ♑· ἔνιοι δὲ προστιθέασιν τούτοις καὶ ♋ ♉ καὶ ♏. τερατώδη δὲ ♓ καὶ ♋ ♏ ♑. κυρτοειδῆ δὲ ὅσα κεκύρτωται ♓ ♋ ♏. μελεοκοπούμενα δὲ ♈ ♉ ♋ ♌ ♏ ♐ ♑ καὶ ♓. τετράποδα δὲ ♈ ♉ ♌ ♐. διφυῆ δὲ ὅσα δύο φύσεις ἔχει οἷον ♐ ♑ ♓· [αἷς] ἔνιοι καὶ Ζυγὸν διφυῆ λέγουσιν διὰ τὸ βαστάζειν τι. περισσομελῆ δὲ καὶ τοῖς ἀκροτηρίοις πλεονάζοντες ♋ καὶ ♏. κοινωνικὰ δὲ ♊ ♍ ♐ ♓· δίσωμα γὰρ ὄντα κατὰ φύσιν τὴν τῶν δυοῖν σωμάτων σύμφωνον κοινωνίαν [παρέσχεται] παρέχουσιν. δίχρωμα δὲ τὰ ἰχθυακά, ἐπεὶ οἱ ἔχοντες ἐν αὐτοῖς τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ἀλφοῖς ἢ λέπραις ἢ φακοῖς ἢ λειχῆσι ἁλίσκονται· εἰσὶν δὲ τὰ λεχθέντα ἰχθυακὰ ♓ ♋ ♏, ἀπο μέρους δὲ καὶ ♑. ταῦτα δὲ λέγεται καὶ λεπρώδη διὰ τὸ ἔχειν λεπίδας, διὸ σὺν αὐτοῖς τέτακται ὁ ♏. ἀσθενόφθαλμα δὲ *** ♌ ♎ ♐ ♈ ♋. σπαστικὰ δὲ εἴρηται διὰ (f. 94v) τὸ τοὺς ἔχοντας ἐν αὐτοῖς τὴν Σελήνην ὡς ἐπὶ τὸ πλεῖστον σπαστικοὺς εἶναι καὶ πολυκινήτους ἢ ὅτι ταῦτα πολυκίνητα. ἐπιληπτικὰ δὲ καὶ μανιώδη ♉ ♌ ♏ ♓. μαλακοποιὰ δὲ Ταύρου τὰ ἔσχατα καὶ ὀσφὺς καὶ Λέοντος τὰ ἔσχατα καὶ Σκορπίου τὸ κέντρον καὶ τὸ Τοξότου ὡς ἐπὶ τῷ Αἰγόκερῳ τὰ ἔσχατα. λατρώδη δὲ ♑ ♓ ♈ ♉· καλεῖται δὲ λατρευτικὰ διὰ τὸ μὴ ὀρθὰ ἀνατέλλειν ἀλλὰ τὸ πλεῖστον μέρος ἔχειν ἐκτὸς τοῦ Ζῳδιακοῦ κύκλου καὶ οἱονεὶ ἀποφεύγειν· ἔνιοι δὲ ἔφασαν διὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον τοὺς ἐν τοῖς Ζῳδίοις ἔχοντας τὴν Σελήνην ἢ τὸν ὡροσκόπον λατρώδεις μᾶλλον εἶναι καὶ ἀνελευθέρους καὶ ὡσανεὶ κόλακας τῷ ἔθει· τὴν αὐτὴν δὲ οὕτως ἔχει τάξιν τοῖς λατρώδεσι καὶ ὁ ♌ καὶ ὁ ♋ καὶ ὁ ♏. θηριώδη δὲ ♉ ♌ ♏. ἀνθρωποειδῆ δὲ ♊ ♍ ♎ ♒· ♐ δὲ ἀπὸ μέρους διὰ τὸ ἀνθρώπειον σῶμα. πτερωτὰ δὲ ♍ ♐ ♓· διὸ μάλιστα συμβέβηκεν τοὺς γεννωμένους περὶ τούτους τοὺς τόπους γενέσθαι ὀρνιθοθήρας, ὀρνεοτρόφους, ἰξευτάς· γίνονται δὲ καὶ δρομεῖς ταχεῖς πτεροῦ δίκην κινούμενοι. φωνήεντα δὲ ♊ ♍ ♎ ♒, ἐπεί ἐστιν ἀνθρωποειδῆ· ἔνιοι δὲ καὶ Τοξότην προσλαμβάνονται. ἡμίφωνα δὲ ♈ ♉ ♌ ♑ ἐπεὶ φωνὴν μὲν ἔχει ἄναρθρον δὲ καὶ ἄσημον. ἄφωνα δὲ ♋ ♏ ♓, φωνὴν γὰρ οὐ κέκτηνται ταῦτα. [F. C.]

1 υπαυτοὺς (*sic*) cod. ιριδανὸν (*sic*) cod. 2 melius Ἀργώ. 4 πολύγωνα cod. πολὰ. ὀλιγόγωνα (*sic*). 5 ὁ το ♐ cod., videntur alia signa deesse. Cf. Max. ed. Ludw., p. 108, 22 [Boll]. ἄγωνα cod. στῆρα cod. 11 αἷς seclusi. 13 δίσσωμα cod. 14 παρέσχεται secl. 15 ἰχθυακά verbum novum. 16 λιχῆνες cod. 19 lacunam signavi. Cf. supra p. 147, 15, et Max., p. 109, 13 [Boll]. 23 ὡς ἔτι τοῦ αἰγοκέρωτος? 26 ἐκτὸς corr Kroll, τὸ cod, οἱονὶ cod. 29 ὡσανὶ cod. λατρώδευσι cod. 32 γεννομένους cod. 33 ἠξευτὰς cod. 36 ἄναρθον cod. ἄσιμον cod.

F. 130r. Excerptum acephalum de locis[1].

... μέθοδον τῆς τῶν κλήρων εὑρέσεως· φέρε οὖν ταύτην παραδώσομεν· καὶ πρῶτόν γε ἀρξόμεθα ἀπὸ τοῦ κλήρου τῆς τύχης, ἐπειδὴ μᾶλλον αὕτη ἡ θεὸς συγγενεστέρα τοῖς τῇδε πέφυκεν, αὔξουσα καὶ μειοῦσα τὰ πράγματα, ὅθεν καὶ τῇ Σελήνῃ αὐτὴν ᾠκείωσεν ὁ θειότατος ἐκεῖνος Ἑρμῆς Φιβὶ ὁ Τρισμέγιστος· εἶτα μετὰ ταύτην τὸν τοῦ ἀγαθοῦ δαίμονος, ἐπειδὴ ἤθη ψυχῆς καὶ φρόνησιν καὶ προαίρεσιν ἐκ τούτου δυνάμεθα γινώσκειν, ὥσπερ ἐκ τῆς τύχης περὶ τοῦ σώματος καὶ τῶν περὶ τὸ σῶμα· περὶ ταῦτα δὲ μάλιστα ἡ μεγίστη μαντεία καταγίνεται τοῦ γνῶναι ἤθη ψυχῆς καὶ διαγωγὴν σωμάτων, ταὐτὸν δὲ εἰπεῖν πῶς μὲν ψυχὴ πολιτεύεται κατὰ τὸν τῇδε κόσμον ἄνωθεν ἐλθοῦσα, πῶς δὲ τὸ σῶμα καὶ τὰ περὶ τὸ σῶμα καὶ ἁπλῶς εἰπεῖν πάντα τὰ οὐκ ἐφ' ἡμῖν ὑπαντήσει. τούτου χάριν πρὸ πάντων τῶν κλήρων τὸν τοῦ δαίμονος καὶ τῆς τύχης κλῆρον ζητητέον· ἀλλὰ μὴν καὶ ἑτέραν αἰτίαν εἶπε ὅτι διὰ τοῦτο τὸν τοῦ δαίμονος καὶ τῆς τύχης κλῆρον δεῖ προεκβαλεῖν, ἐπειδὴ ἀπὸ τούτων καὶ τοὺς ἄλλους πάντας ἐκβάλλομεν· οὐκ ἠδυνάμεθα οὖν τούτων μὴ ἐκβληθέντων τοὺς λοιποὺς ἐκβαλεῖν. ἐπεὶ τοίνυν ταῦτα καλῶς εἴρηται, ἔλθωμεν ἐπὶ τὸ προκείμενον καὶ ζητήσωμεν τὴν μέθοδον δι' ἧς ὁ κλῆρος τῆς τύχης ἐκβάλλεται.

Δεῖ γὰρ σκοπεῖν ἐν ποίῳ ζῳδίῳ καὶ ἐν ποίᾳ μοίρᾳ ὑπῆρχεν ὁ Ἥλιος κατὰ τὸν καιρὸν τῆς γενέσεως ἢ ἁπλῶς εἰπεῖν ἐπὶ παντὸς ἐγχειρουμένου πράγματος, ὡσαύτως δὲ καὶ ἐν ποίῳ ζῳδίῳ καὶ ποίᾳ μοίρᾳ ὑπῆρχεν ἡ Σελήνη, πρὸς τούτοις δὲ καὶ ὁ ὡροσκόπος ἐν ποίῳ ζῳδίῳ ὑπῆρχεν καὶ ἐν ποίᾳ μοίρᾳ. καὶ ὅταν ταῦτα εὑρεθῇ, εἰ μὲν ἡμερινή ἐστιν ἡ γέννησις, τηνικαῦτα μετρεῖν τὸ ἀπὸ Ἡλίου μέχρι τῆς Σελήνης διάστημα τῶν μοιρῶν· εἶτα τούτῳ τῷ ἀριθμῷ τῷ εὑρεθέντι ἐν τῷ διαστήματι προσπλέκειν τὸν ἀριθμὸν τὸν εὑρεθέντα ἐπὶ τοῦ ὡροσκόπου· εἶτα οὗτος ἀπολύειν ἀπὸ τοῦ ὡροσκόπου δίδοντα ἑκάστῳ ζῳδίῳ μοίρας λ' καὶ σκοπεῖν ἐν ποίῳ ζῳδίῳ καταλήξει ὁ ἀριθμὸς ὁ εὑρεθεὶς καὶ ἐν ποίᾳ μοίρᾳ καὶ ἐκεῖσε λέγειν εἶναι τὸν κλῆρον τῆς τύχης· ὑποδείγματος

1 παραδόσωμεν cod. 3 τίδε cod. 4 οἰκείωσεν cod. 5 Cf. supra p. 148, 13. Ἑρμὴν φιβὶ τὸν τρισμεγίστον (*sic*) cod. Post ταύτην verbum deesse vid. 6 τύχης cod., corr. Kroll. προέρεσιν cod. 7 γινόσκειν cod. 8 μαντία cod. 9 τύχης cod. 10 τύχη cod., corr. Kroll. τίδε cod. 12 χάρην cod. 14 προ ἐκβαλλεῖν cod. 15 ἐκβάλωμεν cod. 16 ἐκβαλλεῖν. 20 κατὰ] καὶ cod. 21 ὑπείρχεν cod. 25 τοῦτο cod. 26 οὕτως coni. Kroll. 28 καταλίξει cod. 29 ἐκεῖσαι cod.

[1] Excerpti longioris, titulo et principio carentis, initium finemque describenda curaveram ut auctoris nomen eruere possem. Nec spes omnino me fefellit, nam eadem fere quae Paulus Alexandrinus in *Isagoge*, Witebergae a. 1588 edita, I, 1r ss., praebet cod. Laurentianus, qui tamen interdum ab eo discrepat vel etiam plenior est. Nec, cum Paulus illa ex Hermetis Panareto se hausisse ipse profiteatur, satis constat utrum excerptum Laurentianum ab eodem fonte derivatum sit an, quod verisimilius videtur, byzantinus quidam astrologus ex Paulo scholiisque ad Paulum — fortasse Heliodori — saturam confecerit.

χάριν ἔστω ὁ Ἥλιος Διδύμων μοίρᾳ ιβʹ, ἡ δὲ Σελήνη Ὑδροχόου μοίρᾳ κηʹ, ὁ δὲ ὡροσκόπος Ζυγοῦ μοίρᾳ ιʹ ἐπὶ ἡμερινῆς γεννήσεως· ἐνταῦθα τὸ ἀπὸ <τοῦ> Ἡλίου ἐπὶ τὴν Σελήνην μετρῶ διάστημα, ἐπειδὴ ἡμερινή ἐστιν ἡ γέννησις· λαμβάνω (f. 130ᵛ) οὖν τῶν μὲν Διδύμων ιβʹ ὅθεν ἦν ὁ Ἥλιος· τοῦ δὲ Ὑδροχόου κηʹ ἔνθα ἦν ἡ Σελήνη· γίνονται μοίραι μʹ. εἶτα τὰ διὰ μέσου ζῴδια ψηφίζω ἀνα λʹ· εἰσὶν δὲ ἑπτὰ ἀναμεταξὺ Διδύμων καὶ Ὑδροχόου· ἑπτάκι λʹ σιʹ· προσμίγνυμι καὶ τὰ τῶν ζῳδίων ἐν οἷς ἦσαν ὁ Ἥλιος καὶ ἡ Σελήνη· γίνονται σνʹ. προσμίγνυμι καὶ τὰ τοῦ ὡροσκόπου μόρια ιʹ, γίνονται πάντα σξʹ. λοιπὸν ἐκβάλλω ἀπὸ τοῦ ὡροσκόπου αὐτοῦ, τῷ ὡροσκόπῳ διδοὺς πρῶτον λʹ· φημὶ δὴ Ζυγῷ καὶ τοῖς ἐφεξῆς ἀπὸ λʹ μέχρι Ταύρου· ὀκτάκι γὰρ λʹ σνʹ· λοιπὸν κʹ. ταῦτα δίδωμι τοῖς Διδύμοις· καὶ λέγω ὅτι ὁ κλῆρος τῆς ἀγαθῆς τύχης ἐστὶν ἐν Διδύμων μοίρᾳ κʹ. λοιπὸν θεωρῶ οἱ Δίδυμοι πῶς διάκεινται· ἆρα κέντρου τόπον ἐπέχουσιν, οἷον ἀναφορᾶς, ἢ ἐκεῖ τίς ἐστιν τῶν ἀγαθοποιῶν ἀστέρων, καὶ τὰ ἄλλα ἅπαντα, ἅπερ ἐν τῇ πινακικῇ ἐπισκέψει παραδίδοται· καὶ οὕτως ἀποφαίνομαι περὶ τῶν κατὰ τὸ σῶμα ἢ περὶ τὸ σῶμα μελλόντων συμβαίνειν· καὶ ταῦτα μὲν ἐπὶ ἡμερινῆς γενέσεως etc. . . . .

F. 132ʳ. Εἰκότως δὲ τοὺς πρώτους ἑπτὰ κλήρους τοὺς καθωλικούς, λέγω τοὺς τῶν ζʹ ἀστέρων, ὁ θειότατος Ἑρμῆς τοιούτοις ὀνόμασι προσηγόρευσεν, ὀνομάσας τὸν μὲν τῆς Σελήνης τύχην, τὸν δὲ τοῦ Ἡλίου δαίμονα καὶ τὰ ἑξῆς. ἐπειδὴ καὶ τῇ φύσει ἡ μὲν Σελήνη τύχη καθέστηκεν, ὁ δὲ Ἥλιος δαίμων καὶ ἡ Ἀφροδίτη ἔρως, ὁ δὲ τοῦ Ἑρμοῦ ἀνάγκη, ὁ δὲ τοῦ Ἄρεως τόλμα, ὁ δὲ τοῦ Διὸς νίκη, ὁ δὲ τοῦ Κρόνου νέμεσις· ὁ δὲ ὡροσκόπος τούτων ἀνὰ μέσον βραβεύει βάσις καθεστὼς τοῦ παντὸς κόσμου, ἐπειδὴ τὸ γενόμενον ἀπ' αὐτοῦ τὴν ζωὴν ἕλκει πρῶτον, ὡσαύτως δὲ καὶ πᾶν πρᾶγμα ἐξ αὐτοῦ ἔχει τὴν καταρχήν. καὶ ἡ μὲν τύχη σημαίνει τὰ περὶ τοῦ σώματος ἅπαντα καὶ τὰς κατὰ τὸν βίον πράξεις, κτήσεώς τε καὶ δόξης καὶ προεδρίας δηλωτικὴ καθέστηκεν. ὁ δὲ δαίμων ψυχῆς καὶ τρόπου καὶ φρονήσεως καὶ δυναστείας πάσης κύριος τυγχάνει, ἔσθ' ὅτε δὲ καὶ περὶ πράξεων λόγους συνεργεῖ. ὁ δὲ ἔρως σημαίνει τὰς ὀρέξεις καὶ τὰς ἐπιθυμίας τὰς κατὰ προαίρεσιν γινομένας, φιλίας τε καὶ χάριτος παραίτιος καθέστηκεν. ἡ δέ γε ἀνάγκη συνοχάς τε καὶ ὑποταγὰς καὶ μάχας καὶ πολέμους, ἔχθρας τὲ καὶ μῖσος, καὶ καταδίκας, καὶ τὰ ἄλλα πάντα <τὰ> τοῖς ἀνθρώποις συμβαίνοντα βίαια πράγματα ποιεῖ· ἡ δὲ τόλμα θρά-

2 γενέσεως cod. 3 τοῦ omis cod. 6 ψιφίζω cod. 7 προσμίγνοιμι cod. 8 προσμίγνοιμι. 11 ἀπὸ] ἀνὰ corr. Kroll. ταύρω cod. 12 δίδομι cod. 13 δίδιμοι. 18 Haec paene ad verbum in Paulo Alexandrino, I, 2ᵛ, l. 17 sqq. inveniuntur. Vide Rhetorii quoque cap. 47, supra p. 160. εἰκώτος cod. πρώτους| πρὸ τῆς cod. 23 καθέστικεν cod. ac sic 11, 15, 19 etc. δαίμον cod. 26-27 ἐπειδὴ ... καταρχήν omis. Paulus. 28 ἡ] εἰ cod. περὶ Paulus : ἐπὶ cod. 29 κτήσεως Paulus : κτίσεως cod. προσεδρίας cod. et Paulus. 30 δαίμον cod. 31 πραξέως λόγον Paulus. 35 τὰ ex Paulo suppl., abest in Rhetorio. 36 ἐν γέννᾳ ante ποιεῖ add. Paulus.

σους καὶ ἐπιβουλῆς καὶ ἰσχύος καὶ κακουργίας πάσης παραιτία καθέστηκεν. ἡ δὲ νίκη πίστεως καὶ ἐλπίδος ἀγαθῆς καὶ ἀγῶνος καὶ κοινωνίας πάσης, ἔτι δὲ καὶ ἐπιβολῆς καὶ ἐπιτυχίας παραιτία καθέστηκεν. ἡ δὲ νέμεσις δαιμόνων χθονίων καὶ τῶν κεκρυμμένων, ἀποδείξεώς τε καὶ ἀδράνειας καὶ φυγῆς καὶ ἀπωλείας καὶ πένθους καὶ ποιότητος θανάτου παραιτία καθέστηκεν. ἡ δὲ βάσις, <δ> ἐστιν ὁ ὡροσκόπος, ζωῆς καὶ πνεύματος παραίτιος καθέστηκεν, ἐπειδὴ ἅμα τῷ γεννᾶσθαι πᾶν τὸ γινόμενον ἐκ τοῦ ἀέρος ἐπισπᾶται τὸ ζωτικὸν πνεῦμα ἐν τῇ <τῆς> σταλαγμιαίας <ὥρας> ῥοπῇ <τῇ> κατὰ τὴν ἀποκύησιν τεταγμένῃ, ἥτις ἐστὶν τῶν ὅλων δηλωτική. [F. C.]

F. 132r. Οἱ κλῆροι οὗτοι ἡμερινοί.

Κλῆρος ξενιτείας· ἀπὸ ☉ ἐπὶ ♂ — κλῆρος εὑρήματος· ἀπὸ ♄ ἐπὶ ♃ — κλῆρος κλοπῆς· ἀπὸ ☿ ἐπὶ ♂ — κλῆρος κληρονόμων ἀπὸ ♄ ἐπὶ ♀ — κλῆρος δανείων· ἀπὸ ☿ ἐπὶ ♄ — κλῆρος πράσεως· ἀπὸ ☿ ἐπὶ ☾ — κλῆρος μοιχείας· ἀπὸ ♀ ἐπὶ ♂ — κλῆρος γονέων· ἀπὸ ♂ ἐπὶ ☾ — κλῆρος δούλων· ἀπὸ ♂ ἐπὶ ☾ — κλῆρος θανάτου· ἀπὸ ♄ ἐπὶ ☾ — κλῆρος πραγματείας· ἀπὸ ♃ ἐπὶ ♄ — κλῆρος σίνους· ἀπὸ ♂ ἐπὶ ♄ κλῆρος ζωῆς *** — κλῆρος ἐχθρῶν· ἀπὸ ♀ ἐπὶ ☿ — κλῆρος πατρίδος· ἀπὸ ☉ ἐπὶ ♂ — κλῆρος ἔρωτος· ἀπὸ ♄ ἐπὶ ♃ — κλῆρος συνοχῆς· ἀπὸ ♄ ἐπὶ ♂ — κλῆρος πράσεως· ἀπὸ ☉ ἐπὶ *.

Ἐπὶ νυκτερινῆς γεννήσεως τὸ ἐναντίον.

Κλῆρος ἐξουσίας ἀπὸ ♂ ἐπὶ ☉ — κλῆρος στρατείας ἀπὸ ♂ ἐπὶ ♃ — κλῆρος ἐπιθυμίας ἀπὸ ♃ ἐπὶ ♀ — κλῆρος κοινωνίας ἀπὸ ☿ ἐπὶ ♀ — κλῆρος νίκης ἀπὸ ♀ ἐπὶ ♂ — κλῆρος ἀρχῆς ἀπὸ ♃ ἐπὶ ♀ — κλῆρος ἀγορασίας ἀπὸ ♀ ἐπὶ ☿ — κλῆρος ναυκληρίας ἀπὸ ♄ ἐπὶ ☿ — κλῆρος φίλων· ἀπὸ ☿ ἐπὶ ♀ — κλῆρος χωρίων· ἀπὸ ♄ ἐπὶ ☿ — κλῆρος τέχνης ἀπὸ ♂ ἐπὶ ☾ — κλῆρος βίου ἀπὸ ♀ ἐπὶ ♄ — κλῆρος βάσεων ἀπὸ τύχης ἐπὶ δαίμονα — κλῆρος ἀξιώματος ἀπὸ ♃ ἐπὶ ☉ — κλῆρος κριτηρίων ἀπὸ ♄ ἐπὶ ☿ — κλῆρος ἐκδημίας ἀπὸ ♂ ἐπὶ ☾ — κλῆρος λύπης ἀπὸ ♄ ἐπὶ ☉.

1 καὶ ἐπιβουλῆς Paulus et Rhetorius : περιβολῆς (om. καὶ) cod. 2 ἀγόνος cod. 3 ἔτι τε cod. 4 νεμεσία δαίμον cod. ἀποδίξεως cod. 5 ἀνδρείας Paulus et Rhetorius. απολείας cod. ποιώτητος cod. 6 ὅ ex Paulo suppl. 7 παραιτία, Paulus, cf. 7. γενάσθαι cod. 8 γινόμενον Paulus : γενόμενον cod. ἐκ τοῦ πλέοντος (περιθέοντος coni. Kroll) ἀέρος ἀποσπᾷ Paulus. ἐν τῇ σταλαγμιέα τῆς ῥοπῆς κατὰ cod. : ἐπὶ τῆς σταλαγμιαίας τῆς ὥρας ῥοπῇ τῇ κατὰ Paulus. 14 Inc. f. 132r, cf. tabulam phototypicam in calce huius libri. 15 μοιχίας cod. 18 ζωῆς sq. lacuna dimid. versus in cod 20 ἐπὶ] signum deest. ☿ ἐπὶ ☿ cod. 21 γενήσεως cod. 29 κρητηρίων cod. ἐδήμιος cod., corr. Boll.

Ἄλλως οἱ κλῆροι κάλλιον.

Κλῆρος βίου ἀπὸ ☉ ἐπὶ ὡροσκόπον — κλῆρος κοινωνίας ἀπὸ ♃ ἐπὶ ♀ — κλῆρος δούλων ἀπὸ ☿ ἐπὶ ☾ — κλῆρος ζωῆς ἀπὸ ♃ ἐπὶ ♄ — κλῆρος πράσεως ἀπὸ ☉ ἐπὶ ♃ — κλῆρος γεωργίας ἀπὸ ♄ ἐπὶ ♀ — κλῆρος φίλων ἀπὸ ♃ ἐπὶ ♀ — κλῆρος δόξης ἀπὸ ♃ ἐπὶ ♀ — κλῆρος διαθήκης ἀπὸ ☿ ἐπὶ ♃. — κλῆρος πλούτου ἀπὸ ♃ ἐπὶ ♂ — κλῆρος εὐρωστίας ἀπὸ ☉ ἐπὶ τὸ μεσουράνημα — κλῆρος εὐφημίας ἀπὸ δύο μέρη εἰς ☾ Δ′ — κλῆρος ἐχθρῶν ἀπὸ ♄ εἰς ♂ — κλῆρος ἐγγυῶν ἀπὸ ♀ ἐπὶ ♂ — κλῆρος ἀγορασίας ἀπὸ ♂ ἐπὶ ♀ — κλῆρος πράσεως ἀπὸ ♀ ἐπὶ ♂ — κλῆρος τύχης Αἰγοκέρωτος ιζ′ Ἡλίου τριγωνοῦντος Ἑρμῆν Ἀφροδίτην. — κλῆρος δαίμονος Διδύμων κβ′ Διὸς ἑξαγωνοῦντος Ἥλίον, τετραγωνοῦντος * — κλῆρος νίκης Κριοῦ κβ′ Ἡλίου τριγωνοῦντος * — κλῆρος ἔρωτος, Διδύμων ιβ′ Ἑρμοῦ τετραγωνοῦντος Ἀφροδίτην — κλῆρος γάμου ἐπὶ Διὶ Ἄρεα τριγωνοῦντι — κλῆρος ξενιτείας Διδύμων ιγ′ Ἀφροδίτης ἤτοι Κρόνου ἑξαγωνοῦντος Ἄρεα.

Περὶ κλήρων πάντων τῶν ἀρχαίων.

Κλῆρος τύχης ἀπὸ ☉ ἐπὶ ☾ ἡμέρας, νυκτὸς δὲ ἀπὸ ☾ ἐπὶ ☉ καὶ μερίζω ἀπὸ ὡροσκόπου — κλῆρος δαίμονος ἀπὸ ☾ ἐπὶ ☉ ἡμέρας, νυκτὸς δὲ τὸ ἀνάπαλιν καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου· (f. 133ʳ) — κλῆρος βάσεως ἡμέρας ἀπὸ τύχης ἐπὶ δαίμονα. Sequuntur multa alia huiuscemodi. — Des. f. 133ᵛ πάντες οἱ προγεγραμμένοι κλῆροι μερίζονται ἀπὸ τοῦ ὡροσκόπου πλὴν τῶν σεσημειωμένων. [F. C.]

2 γεωργείας cod. 6 διαθίκης cod. 7 εὐροστείας cod. μεσουρανιμα cod. Signum ☾ Δ′ non capio. 8 ἐγγεῶν cod. 12 □ signum planetae requiritur. τριγωνοῦντος signa planetarum omis. cod. 14 ξενητείας cod. 19 ὁρωσκόπου cod. 20 τύχην cod. 22 πλὶν. σεσημιωμένων.

F. 140ᵛ. Ἐκ τῶν Εὐτοκίου ἀστρολογουμένων[1].

Ἀναγκαῖον ὑποδεῖξαι πῶς τε δεῖ ἐκτίθεσθαι τὴν τοῦ ἀναδιδομένου θέματος ψηφοφορίαν, τοσοῦτον ἀπὸ τῶν γενεθλιαλογουμένων προσλαβὼν ὅσον ἡ χρεία ἀπαιτεῖ πρὸς ὑπόμνησιν τοῦ ἀποτελοῦντος ἀνδρός, τουτέστιν τά τε τρίγωνα καὶ τοὺς οἴκους, ὑψώματά τε καὶ ταπεινώματα

2 ὑποδόξαι cod. 3 προσλαβὸν cod. 4 ἀπετεῖ cod, corr. ἀποστελοῦντος cod., corr. Kroll.

---

[1] [Principium saltem huius tractatus edere visum est, mathematici haud ignobilis (cf. Heiberg, *Ueber Eutokios*, Jahrb. für class. Philol., Supplem. XI [1880], p. 357 sqq.), praesertim cum ex temporum notis p. 171, v. 4, quae cum anno 498-499 p. C. n. competunt, luculenter confirmetur Pauli Tannery sententia qui in *Bulletin des sciences mathématiques*, 2ᵉ série, VIII (1884), p. 317 sqq. contendit Eutocium non, ut credebant, saeculo sexto sed ante annum 480 natum esse. — F. C.]

καὶ ὅρια καὶ δεκανοὺς καὶ πρόσωπα καὶ μονομοιρίας· τοὺς δὲ κλήρους ὡς ἂν ἕκαστος βούληται, κατὰ τὴν παρ' ἕκαστα χρείαν ἐκτιθέσθω· ἔχει δὲ τὸ ὑπόδειγμα τοῦ θέματος οὕτως· ὑποκείσθω ἔτος ἀπὸ τῆς τοῦ Διοκλητιανοῦ βασιλείας ἀρχῆς σιδ′, ὅπερ ἐστὶν ἀπὸ τῆς τοῦ Μακεδόνος Ἀλεξάνδρου τελευτῆς ωκα′, μηνὶ κατὰ Ἀλεξανδρέας Ἀθὺρ πρώτῃ, ὥρᾳ ἡμέρας καιρικῇ πρὸς τὴν ἐν Αἰγύπτῳ Ἀλεξάνδρειαν ζ′ ιβ′. κατὰ τὸν χρόνον οὖν τοῦτον καὶ τὸν τόπον τὸν εἰρημένον, τουτέστιν τὴν Ἀλεξάνδρειαν, ἐψηφίσαμεν τάς τε ἐποχὰς τῶν ἀστέρων καὶ τὰ κέντρα ἀκριβῶς καὶ ἐξεθέμεθα αὐτὰ ἄνευ τροπῆς, διὰ τὸ οὕτως καλῶς δοκεῖν τῷ θείῳ Πτολεμαίῳ· εἰσὶν οὖν αἱ τῶν ἑπτὰ πλανωμένων ἐποχαὶ καὶ τὰ κέντρα καὶ οἱ κλῆροι οὕτως. Ἥλιος Σκορπίου Δ′ κβ′· Σελήνη Ταύρου ΙΗ′ ι′· Κρόνος Κριοῦ ΚΔ′ κη′. Ζεὺς Παρθένου Δ′ ιβ′· Ἄρης Λέοντος ΙΖ′ λε′· Ἀφροδίτη Καρκίνου ΙΗ′ κδ′· Σελήνη πρὸς Ταῦρου Γ′ ζ′· ἀναβιβάζων Κριοῦ Ις′ δ′. Ἥλιος Σκορπίου Δ′ κβ′ . . . . [A. O.]

1 ὥρια cod. 2 ὡσὰν cod. βούλεται cod., corr. 5 Ἀλεξανδρεῖς cod. 6 καὶ ριζ praebet apogr.; corr. Boll. 8 ἐψιφήσαμεν cod. 10 Cf. tab. exp. ed. Halma, I, 53 [Boll]. πλανομένων cod. 11 οὗτος cod.

F. 144r. Καθολικὴ παραγγελία περὶ καταστημάτων· Σύρου[1].

Τὴν ἀρχὴν τῆς παρατηρήσεως περὶ τοῦ ἐνιαυσιαίου καταστήματος ποιούμεθα ἀπὸ ιθ′ τοῦ παρὰ Ῥωμαίοις Ἰουλίου μηνός· ἐν ταύτῃ γὰρ τῇ ἡμέρᾳ [μᾶλλον ἀπὸ τῆς τοῦ Κυνὸς ἐπιτολῆς τῇ ιθ′ τοῦ Ἰουλίου μηνός. ἐν ταύτῃ τῇ ἡμέρᾳ] μετὰ δύσιν Ἡλίου προσήκει ἀκριβῶς βλέπειν τὸν ἀέρα διανυκτερεύοντα. καὶ ἐὰν μὲν φανῶσιν νέφη πάραυτα τοῦ δῦναι τὸν Ἥλιον, χάλαζαν δηλοῖ ἔσεσθαι κατὰ τὴν ἀρχὴν τοῦ Ὀκτωβρίου μηνός· ἐὰν δὲ ἐν τῷ μέσῳ τῆς νυκτός, περὶ τὴν μέσην τοῦ μηνός· ἐὰν δὲ τῇ αὐγῇ ταῦτα φανῶσιν, περὶ τὸ τέλος τοῦ μηνὸς γενήσεται τὸ ἀποτέλεσμα. καὶ ἁπλῶς εἰπεῖν κατὰ τὸ ἀνάλογον τῶν ὡρῶν τῆς νυκτὸς λογίζου καὶ τὴν περίστασιν γενέσθαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τοῦ μηνός. καὶ ἐὰν μὲν παχέα φανῶσιν τὰ νέφη, δηλοῖ μεγάλην ἔσεσθαι χάλαζαν, εἰ δὲ λεπτά, ψιλήν· εἰ δε δροσιὰ γένησεται, ἀέρα δηλοῖ. κυρίως δὲ ἐκεῖ γενήσεται ἡ χάλαζα ὅπου τὰ νέφη ἐφάνησαν. ἐὰν δὲ μήτε νέφη

A = Laur. 28, 34. Varias lectiones adnotavi cod. Laur. 28. 14, f. 243r (B) quem mihi descripsit Bidez. Cod. Vindobon. Phil. 115, f. 157v idem praebet excerptum. 1 περὶ τῶν κ. τοῦ ἀερος B. 2 περὶ om. B. ἐνιαυσιέου A. 2-5 καταστήματος ἀπὸ τῆς τοῦ κυνὸς ἐπιτολῆς σκέπτου· ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ καθ' ἣν ἄρχεται ἐπιτέλλειν (suppl. ὁ Κύων) μετὰ δύσιν B. 4-5 glossam μᾶλλον ... ἡμέρᾳ uncis inclusi. 6 εἰ A. παρ' αὐτὰ A. εὐθὺ μετὰ τὸ δῦναι B. 8 μηνὸς — τοῦ μηνὸς omis. B. εἰ A. εἰ A. 9 ἅμα τῇ coni. Kroll. τὰ αὐτὰ A. φανῇ B. τοῦ τέλους A. 10 κατὸ A. 11 μοίρᾳ coni. Kroll. 12 ἐὰν B : εἰ A. τὰ νέφη omis A. φάλαγγα B. 13 ἀέρα intellige ventum cf. p. 172, 9. δροσιά (A) pro δρόσος (B) hodie quoque dicitur. γένηται A.

[1] De Syro, cf. supra, p. 131, n. 1.

φανῶσιν, μήτε δροσιὰ γένηται, εὔδιον λέγε τὸ κατάστημα τοῦ μηνός· ἡ δὲ τῆς κʹ τοῦ μηνὸς νὺξ σημαίνει τὰ τοῦ Νοεμβρίου καταστήματα, τῆς παρατηρήσεως γενομένης ὁμοίως τοῖς ῥηθεῖσιν περὶ τῆς ἑτέρας νυκτός. ἡ δὲ τῆς καʹ τοῦ μηνὸς νύκτα σημαίνει τὸ τοῦ Δεκεμβρίου μηνὸς κατάστημα. ἐὰν γαρ ἐν ταύτῃ τῇ νυκτὶ νέφη φανῶσιν ἀφ' ἑσπέρας, χίονα σημαίνει κατὰ τὴν ἀρχὴν τοῦ Δεκεμβρίου μηνός, εἰ δὲ πρὸς τὴν αὐγὴν, περὶ τὰ τέλη τοῦ αὐτοῦ μηνός· ἐὰν δὲ δρόσος γένηται, ἀέρα δηλοῖ τῷ αὐτῷ μηνί. ἡ δὲ τῆς κβʹ τοῦ αὐτοῦ μηνὸς νὺξ σημαίνει τὰ τοῦ Ἰανουαρίου μηνὸς καταστήματα· ἡ δὲ παρατήρησις αὐτῆς ἔστω ὁμοία <τῇ> τῆς προρρηθείσης νυκτός. ἡ δε κγʹ νὺξ σημαίνει τὰ τοῦ Φεβρουαρίου μηνὸς καταστήματα· ἐὰν γὰρ νέφη φανῶσιν ἀφ' ἑσπέρας χίονα σημαίνει· εἰ δὲ περὶ τὸ μεσονύκτιον, ἀέρα δηλοῖ· εἰ δὲ τὸ πρωὶ χάλαζαν καὶ ἀνέμους βιαίους. ἡ δε τῆς κδʹ νὺξ σημαίνει τα τοῦ Μαρτίου μηνὸς καταστήματα κατὰ τὴν αὐτὴν παρατήρησιν. ἡ δὲ [τὰ] τῆς κεʹ νὺξ τὰ τοῦ Ἀπριλίου· ἐὰν γὰρ νέφη φανῶσιν, χάλαζαν σημαίνει· εἰ δὲ δρόσος, ἀέρα. ἡ δὲ τῆς κϛʹ νὺξ δείκνυσιν τὰ τοῦ Μαΐου, στοχαζαμένου σου καθὼς καὶ ἐν τῇ τοῦ Ὀκτωβρίου νυκτί. δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὅτι ἐὰν πρὸ δύσεως Πλειάδος ἀὴρ γένηται, πρώιμον χειμῶνα σημαίνει ἔσεσθαι· εἰ δὲ ἐν αὐτῇ τῇ δύσει, μέσος· εἰ δὲ μετὰ καιρόν, ὄψιμον. [F. C.]

1 εὐδιηνὸν B. 2 ἡ] εἰ A. 2-3 τῆς δὲ ἐφεξῆς ἡμέρας ἡ νὺξ σ. τὸ τ. Ν. κατάστημα τ. π. γινομένης B. 3 ῥιθῆσιν A. ἑταίρας A. π. τ. ἑτ. νυκτός omis. B. 4 ἡ] εἰ A. 4-5 ἀπὸ δὲ τῆς μετ' αὐτὴν πάλιν νυκτὸς τὸ τοῦ ἐφεξῆς μηνὸς Δεκεβρίου κατάστημα σημαίνεται B. 4 νύκτα pro νὺξ verbum vulgaris sermonis. 5 νέφη φ. ἀφ' ἑσπ. B. 6 Δεκ.] αὐτοῦ B. εἰ] ἡ A. 7 τέλει A. ἐὰν] εἰ codd. 8-10 ὁμοίως δὴ τούτοις πάλιν καὶ ἡ μετ' ἐκείνην νὺξ τὸ τοῦ ἰαννουαρίου σημαίνει κατάστημα καὶ ἡ παρατήρησις αὐτῆς ἔσται κατὰ τὰς παρελθούσας νύκτας B. 8 ἡ] εἰ A. 9 τὰ] τῶ A. εἰ δὲ παρατήρησης A. 10 τῇ suppl. προρηθείσης A. τὰ] τῶ A. ἡ] ει A. 10-11 ἡ δὲ μετ' αὐτὰς νὺξ τὸ τοῦ φεβρουαρίου δηλοῖ κατάστημα B. 12-17 Haec habet B: χίονα σημαίνει περὶ τὰς ἀρχὰς τοῦ μηνός· εἰ δὲ περὶ τὸ μέσον τῆς νυκτὸς ἄνεμον δηλοῖ, εἰ δὲ τὸ πρωὶ χάλαζαν καὶ ἀνέμους βιαίους. καὶ πάλιν ἡ ἄλλη νὺξ τὸ τοῦ μαρτίου κατὰ τὴν αὐτὴν ταῖς προτέραις τάξιν· καὶ ἔτι ἡ μετ' αὐτὴν τὸ τοῦ ἀπριλλ(ίου) διὰ μὲν τῶν νεφῶν χαλάζης δηλουμένης, διὰ δὲ τῆς δρόσου ἀνέμου, ἡ δὲ ἐπὶ ταύταις νὺξ τό τοῦ μαΐου τῆς παρατηρήσεως γενομένης ὡς καὶ ἐν τῇ πρώτῃ νυκτὶ τῇ τὸν ὀκτώβριον δηλούσῃ. 13 ἡ] εἰ A. τὰ] τῶ A. 14 ἡ] εἰ A. τὰ] seclusi. 16 ἡ] εἰ A. δείκνυσιν A. 17 καθὸς A. 18 πρὸ τῆς δ. τῆς πλ. B. πλιάδος ἀεὶρ A. πρόιμον A. 19 ἔσεσθαι δηλοῖ B. εἰ δὲ ἐν αὐτῇ] ἐν αὐτῇ δὲ B. εἰ δὲ μετὰ] μετὰ δὲ B. δύση A.

F. 144ᵛ. Ἐπίθετα ὀνόματα τῶν ζʹ ἀστέρων[1].

Ἥλιος· Τιτάν, Φαέθων, ἀκαμάς, Ὑπεριονίδης, βασιλεύς, χρυσαυγής. Κρόνος· Φαίνων, ἀγκυλομήτης, βλαβεραυγής, βραδύς. † χλευάνης, ψυχρός, δυσαυγής, κρυόεις, βραβεύτης.

2 ἀκαλίας cod. 3 ἀγκυλωμήτης. χλευαστής coni. Kroll.

[1] Compilatoris anonymi laterculi quamvis exiles (nam multo plenius est opuscu-

Σελήνη· πλησιφαής, σελασφόρος, ἑλικαυγής, κερόεσσα, τροχόεσσα, μήνη, νυκτιμέδουσα, χρυσάμπυξ, πότνια, νυκταυγής, διχόζωνος, διχομήνη, Θειαντιάς, ἀργυρόφεγγος.

Ζεύς· ὑψιμέδων, πολύφεγγος, Φαέθων, αἰγίοχος, Κρονίδης, εὐφεγγής.

Ἄρης· ἐγχέσπαλος, κορυθαίολος, οὐλαμόεργος, † ὀλόφερνος, βροτολοιγός, πυριμάρμαρος, λοιγολαμπής, ὄβριμος, χαλκεομίτρας, θοῦρος, πυρόεις, ἐνυάλιος, † κρισαιχμής, † εὐπήνεμος, ῥινοτόρος.

Ἀφροδίτη· Κυθέρεια, Κύπρις, κογχογενής, ζευξίγαμος, Παφίη, νησοβασίλεια, Διωναίη, λαμπροφαής, οὐρανίη, θαλασσαίη, ἐρασμίη.

Ἑρμῆς· στίλβων, διάκτορος, ἑρμείας, σῶκος, ἐριούνης, χελυοσσόος.

[F. C.]

1 πλησιφαεὶς cod. κορόεσα τροχόεσα cod. χρυσαμπαξ cod. 3 malim διχόμηνις. θειάνθεια cod., cf. Maxim. 403. 4 An πολυφεγγής?, cf. Manetho 2, 347, 460. 6 κορυθέολος cod. Fort ὀλοόφρων, cf. Orac. Sybill. 12, 263. 6-7 βροτολυγὸς cod. 7 λογολαμπής cod. χαλκεομήτρις cod. 8 πυρόης cod. βριθαιχμής coni. Kroll, χρυσαιγλήεις (cf. αἰγλήεις, Manetho 4, 153) vel χρυσαυγής? Boll. Fort. εὐπόλεμος. 9 κυθέρια cod. ζευξήγαμος παφήη. 10 νησος βασίλεια cod. 10 θαλλασόη. ἐρασίμη cod. 11 στίλβον cod. χελυοξόως cod.

---

lum de epithetis XII deorum quod Studemund in *Anecdotis variis*, I, 264 cum Nicetae excerptis vulgavit) tamen non sunt prorsus inutilia cum rariora vel nova vocabula ex libris astrologicis deperditis, ut videtur, servaverint. — Cf. cod. Marcianus 313, saec. X, in quo, teste Zanettio (*Graeca d. Marci Bibliotheca*, p. 146), " praemittuntur DOROTHEI SIDONII septem astrorum epitheta, τῶν ἑπτὰ ἀστέρων ὀνοματα επίθετα " de quibus plura invenies in catalogo Veneto.



ADDENDA ET CORRIGENDA

P. 4, cod. 5. Orphei poematium correctius ed. Abel, *Orphica*, p. 141.

P. 8, l. 1, lege οἰκοδεσποτῶν ... συνοικοδεσποτῶν.

P. 20, f. 237, f. 237^{v}. Cf. p. 65, cod. 12, f. 80^{v}, f. 81.

P. 22, l. 10, lege δεινὸν γενέσθαι? [Wünsch].

P. 25, n. 1. Pro *oculorum* lege *oraculorum*.

P. 65, l. 6, μαυρόν " nigrum „ pertinet ad codicem partim atramento, partim rubro pigmento exaratum [Wünsch].

P. 71, f. 155. Similia in codicibus saepe inveniri adnotat Wünsch velut apud Berthelot et Ruelle, *Alchimistes grecs*, t. II, p. 24, et Maximum Planudem, Συναγωγὴ ἐκλεγεῖσα (Krumbacher, *Gesch. Byz. Litt.*, p. 544) in Cod. Vatic. Palat. Gr. 141, f. 214^{r}.

P. 73, cod. 15, f. 119^{v}, lege ἐν μησὶ τοῦ ἐνιαυτοῦ. Agit de hoc libro Beckh, *De Geoponicorum codicibus*, Erlangae, 1886, p. 59.

P. 84, n. 1. Ἑρμηνευτής de sacerdotibus prophetisque saepius usurpatur, cf. Platon, *Polit.*, p. 290 C [Wünsch].

P. 84, n. 5 (ad l. 15). De " Harranitis „, cf. ipsum Apomasarem p. 40, cod. 11, f. 13^{v}.

P. 95, l. 33, l. Ἑρμῆς ὑπὸ δύσιν μέσους <ἐν ἡλικίᾳ ἄνδρας> cf. Lyd. de mens., p. 75, 19 [Wünsch].

P. 101, l. 9-10. Si glossam ὁ Ζεὺς expunxeris, omnia intelligentur [Wünsch].

P. 102, l. 10, ἀπορραίνει tuetur Wünsch collato Lydo, *de ost.*, 32, 3-4, διαρραίνων τὰς ἀκτῖνας.

P. 103, l. 2, lege ρϙ'^{ου}, et l. 34 ρϙε'.

P. 114, l. 17. De signis quae πτερωτά dicuntur, cf. p. 166, l. 31 ss.

P. 109, l. 17. Dele notulam. Saturnus planeta frigoris est et procellarum [Wünsch].

P. 114, v. 1. Παραθητεύω est servire mercedis gratia, παραθητικά sunt fortasse mercenaria praemia [Wünsch].

P. 115, l. 4. Ὀλυμβρίου] Ita tunc temporis pronuntiabatur, cf. *Timberio*, etc. [Wünsch].

P. 161, l. 26-27. Legendum esse coniecit Wünsch : ἐὰν ... Σελήνη κατὰ διάμετρον ἢ τετράγωνον ἐπιθεωρή<σασα> τὸν κλῆρον κ. τ. λ.

INDICES NOMINUM

Numeri priores paginam et versum designant, posteriores uncis inclusi codicem et folium.

I. NOMINA SCRIPTORUM

II. NOMINA CETERA

TABULA ARGUMENTI

CATALOGUS CODICUM

APPENDIX

De astrologis graecis testimonia potiora

Excerptum ex codice 2 (Laur. 28, 17)

Excerpta ex codice 8 (Laur. 28, 14)

Excerpta ex codice 11 (Laur. 28, 33)


Excerpta ex codice 12 (Laur. 28, 34)

INDICES

Bruxellis. — Typis Polleunis & Ceuterick.

κλῆρος δαπανῶν· ἀπὸ ☿ ἐπὶ ☉· κλῆρος παραδόξου·
ἀπὸ ☿ ἐπὶ ☾· κλῆρος μοιχείας· ἀπὸ ♀ ἐπὶ ♂:·
κλῆρος γαμβρῶν· ἀπὸ ♄ ἐπὶ ☾· κλῆρος δούλων·
ἀπὸ ♂ ἐπὶ ☾· κλῆρος θανάτου· ἀπὸ ☉ ἐπὶ ☾·
κλῆρος πραγματείας· ἀπὸ ♃ ἐπὶ ☉· κλῆρος οἴκου
ἀπὸ ♂ ἐπὶ ☉· κλῆρος ζωῆς
κλῆρος ἐχθρῶν· ἀπὸ ♀ ἐπὶ ☿· κλῆρος πατρίδος
ἀπὸ ♄ ἐπὶ ♂· κλῆρος ἔρωτος· ἀπὸ ☉ ἐπὶ ♃·
κλῆρος ἀνοχῆς· ἀπὸ ☉ ἐπὶ ♂· κλῆρος παραδόξου· ἀπὸ ♄ ἐπὶ
ἔτι δὲ νυκτερινῆς γενέσεως τὸ ἐναντίον:·
κλῆρος ἐξουσίας· ἀπὸ ♂ ἐπὶ ♄· κλῆρος στρατείας·
ἀπὸ ♂ ἐπὶ ♃· κλῆρος ἐπιθυμίας· ἀπὸ ♃ ἐπὶ ♀·
κλῆρος εὐδαιμονίας· ἀπὸ ☿ ἐπὶ ♀· κλῆρος νίκης·
ἀπὸ ♀ ἐπὶ ♂· κλῆρος ἀρχῆς: ἀπὸ ♃ ἐπὶ ♀· κλῆρος
φρασίας· ἀπὸ ♀ ἐπὶ ☿· κλῆρος μαντείας·
ἀπὸ ☉ ἐπὶ ☿· κλῆρος φίλων· ἀπὸ ☿ ἐπὶ ☿· κλῆρος
χωρίων· ἀπὸ ☉ ἐπὶ ☿· κλῆρος τέχνης· ἀπὸ ♂ ἐπὶ ☾
κλῆρος υἱοῦ· ἀπὸ ♀ ἐπὶ ☉· κλῆρος κακῶν·
ἀπὸ τύχης ἐπὶ δαίμονα· κλῆρος ἀξιώματος· ἀπὸ
♃ ἐπὶ ♄· κλῆρος κινητηρίων· ἀπὸ ☉ ἐπὶ ☿· κλῆρος
θλίψεως ἀπὸ ♂ ἐπὶ ☾· κλῆρος λύπης· ἀπὸ ☉ ἐπὶ ♄:-
ἄλλως οἱ κλῆροι κάλλιον:-
κλῆρος υἱοῦ· ἀπὸ ♄ ἐπὶ ♁: κλῆρος εὐδαιμονίας· ἀπὸ ♃
ἐπὶ ♀· κλῆρος δούλων ἀπὸ ☿ ἐπὶ ☾· κλῆρος ζωῆς·
ἀπὸ ♃ ἐπὶ ☉· κλῆρος παραδόξου· ἀπὸ ♄ ἐπὶ ♃· κλῆ
ρος γεωργίας· ἀπὸ ☉ ἐπὶ ♀· κλῆρος φίλων· ἀπὸ ♃
ἐπὶ ♀· κλῆρος δόξης· ἀπὸ ♃ ἐπὶ ♀: κλῆρος ἀδελφῶν
ἀπὸ ☿ ἐπὶ ♃· κλῆρος πλούτου· ἀπὸ ♃ ἐπὶ ♄:-
κλῆρος ἐργασίας· ἀπὸ ♄ ἐπὶ τὸ μεσουράνημα· κλῆρος
ἀφηλικίας· ἀπὸ δύο μοιρῶν ☾ ♋· κλῆρος ἐχθρῶν:
ἀπὸ ☉ ἐπὶ ♂· κλῆρος ἀγρῶν· ἀπὸ ♀ ἐπὶ ♂· κλῆρος φρασίας· ἀπὸ ♂ ἐπὶ ♀· κλῆρος παραδόξου ἀπὸ ♀ ἐπὶ ♂·
κλῆρος τύχης ♊ ιζ ♄ △ ☿ ♀· κλῆρος δαίμονος =κβ
♃ ε ♈ ♄ □· κλῆρος νίκης ♈ κβ ♄ △· κλῆρος ἔρωτος
=ιβ ☿ □ ♀· κλῆρος γάμου ἐπὶ ♃ ♂ △· κλῆρος ζητήσεως =ιγ ♀ ☉ ☉ ε ♈ ♂:-
περὶ κλήρων πάντων τῶν ἀρχαίων:-
κλῆρος τύχης· ἀπὸ ♄ ἐπὶ ☾ ἐκβαλεῖν ἀπὸ ☾ ἐπὶ ♄ καὶ ωροσκόπου· κλῆρος δαίμονος ἀπὸ ☾ ἐπὶ ♄ ἐκβαλεῖν
τὸ ἀνάπαλιν καὶ τὰς ἀπὸ τοῦ ὡροσκόπου:-

Cod. 12 (Laur. XXVIII, 34), F. 132v.





Astrin